50. Τὸ ὑπὸ τοῦ Ἱερέως ἐν τῷ τέλει πάσης προσευχῆς καὶ ἱεροπραξίας καὶ δὴ καὶ τῆς Λειτουργίας ἐκφωνούμενον *Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν* ἐστὶ τὸ ἐπισφράγισμα. Ἐν τῇ Διακαινησίμῳ ὅμως ἑβδομάδι ἀντὶ τούτου καταλιμπανομένου, ὁ Ἱερεὺς μετὰ τὴν ἀπόλυσιν καὶ τοῦ Ἑσπερινοῦ καὶ τῆς Λειτουργίας ἐκφωνεῖ τρὶς τὸ *Χριστὸς ἀνέστη*, καὶ ὁ λαὸς ἀνταπαντᾷ ἑκάστοτε λέγων τὸ *Ἀληθῶς ἀνέστη*· εἶτα ὁ Ἱερεὺς τελευταῖον *Προσκυνοῦμεν αὐτοῦ τὴν τριήμερον ἔγερσιν*, καὶ αὖθις τὸ *Χριστὸς ἀνέστη* ὁλόκληρον.

Σημειωτέον δὲ ὅτι χοροστατοῦντος ἐν ταῖς ἱεραῖς Ἀκολουθίαις Ἀρχιερέως ἢ Πατριάρχου, λέγεται—ἀντὶ *Δι' εὐχῶν τῶν ἁγίων Πατέρων*,—*Δι' εὐχῶν τοῦ ἁγίου Δεσπότου ἡμῶν, Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς, Ἀμήν*.

ΤΥΠΙΚΗ ΔΙΑΤΑΞΙΣ

ΤΗΣ ΚΑΘ' ΗΜΕΡΑΝ ΑΚΟΛΟΥΘΙΑΣ

ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ[1], ΟΡΘΡΟΥ ΚΑΙ ΛΕΙΤΟΥΡΓΙΑΣ

Ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακόν, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Στιχηρὰ Προσόμοια ἐκ τῆς Παρακλητικῆς τοῦ τυχόντος ἤχου, β΄ ἐκ τῶν πρώτων τριῶν Στιχηρῶν, α΄ ἐκ τῶν δευτέρων τριῶν, καὶ γ΄ τοῦ Ἁγίου τῆς ἡμέρας ἐκ τοῦ Μηναίου. Δόξα Καὶ νῦν Προσόμοιον Θεοτοκίον, (ἢ Σταυροθεοτοκίον, τῇ Τρίτῃ καὶ τῇ Πέμπτῃ ἑσπέρας) *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ μετὰ τὸ *Εἴη τὸ κράτος*, τὰ Ἀπόστιχα ἐκ τῆς Παρακλητικῆς, Δόξα Καὶ νῦν Προσόμοιον Θεοτοκίον (ἢ Σταυροθεοτοκίον), *Νῦν ἀπολύεις*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, Δόξα Καὶ νῦν, ἐκ τῶν ἐν τῷ τέλει τοῦ Ὡρολογίου ὡς καὶ τῆς Παρακλητικῆς καθημερινῶν Θεοτοκίων τῶν Ὀκτὼ ἤχων, καὶ ἡ μεγάλη Ἀπόλυσις.

α΄. Ἐὰν ὁ τυχὼν τῆς ἡμέρας Ἅγιος ἔχῃ ς΄ Στιχηρὰ, ἀλλὰ στερῆται Δοξαστικοῦ, καταλιμπάνονται τὰ γ΄ καὶ ἀντ' αὐτῶν ψάλλονται τὰ τῆς Παρακλητικῆς, ἅτινα καὶ προηγοῦνται.

β΄. Ἐὰν ὁ Ἅγιος ἔχῃ δύο Δοξαστικὰ, ψάλλονται μόνα τὰ Στιχηρὰ τοῦ Ἁγίου ἄνευ τῆς Παρακλητικῆς, διπλασιαζόμενα.

γ΄. Ἐὰν ὦσι δύο Ἅγιοι ἔχοντες ἴδια Στιχηρὰ ἕκαστος, ψάλλονται μόνα τὰ τῶν Ἁγίων, ἄνευ τῶν τῆς Παρακλητικῆς.

δ΄. Ἐὰν ὁ τυχὼν ἐν Σαββάτῳ Ἅγιος μὴ ἔχῃ Δοξαστικὸν, Δόξα Καὶ

---

1. Οὐδὲν ἐνταῦθα περὶ τῆς Θ' λέγομεν, ἥτις προηγεῖται τοῦ Ἑσπερινοῦ, διότι περὶ αὐτῆς ἐν τῇ Προθεωρίᾳ ἀρκετὰ ἐσημειώθησαν § 1.

νῦν τῇ Παρασκευῇ ἑσπέρας τὸ α΄ Θεοτοκίον τοῦ τυχόντος ἤχου, ἐὰν δὲ ἔχῃ Δοξαστικόν, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τὸ ά Θεοτοκίον τοῦ ἤχου, καὶ Ἀπολυτίκιον λέγεται ἐπίσης τοῦ Ἁγίου, καὶ Θεοτοκίον σύμφωνον τῷ ἤχῳ τοῦ Ἀπολυτικίου· ἀλλ' ἐὰν μὴ ἔχῃ ὁ Ἅγιος Δοξαστικά, Ἀπολυτίκιον ψάλλεται τὸ *Ἀπόστολοι Μάρτυρες*, Δόξα *Μνήσθητι Κύριε ὡς ἀγαθὸς τῶν δούλων σου*, Καὶ νῦν *Μήτηρ ἁγία* (Ὅρα ἐν τῷ Ὡρολογίῳ Ἀπολυτίκια τοῦ 6΄ ἤχου, Παρασκ. ἑσπέρας).

2. Εἰς τὸν Ὄρθρον ὁ Ἱερεὺς *Εὐλογητὸς ὁ Θεὸς*, *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι*, *Βασιλεῦ Οὐράνιε*, τὸ Τρισάγιον, *Ὅτι σοῦ ἐστιν*, *Κύριε ἐλέησον ιβ΄*, *Δόξα Πατρὶ*, *Καὶ νῦν καὶ ἀεὶ*, *Δεῦτε προσκυνήσωμεν* τρὶς καὶ ὁ Ν΄ Ψαλμὸς, καὶ τὸ Μεσονυκτικὸν ὡς ἐστι διατεταγμένον ἐν τῷ Ὡρολογίῳ. Ἐν ταῖς Προεορτίοις καὶ Μεθεόρτοις ἡμέραις τῶν Δεσποτικῶν καὶ Θεομητορικῶν ἑορτῶν ἀντὶ τοῦ *Ἰδοὺ ὁ Νυμφίος* λέγεται τὸ Προεόρτιον Ἀπολυτίκιον, ἢ τὸ τῆς ἑορτῆς εἰς τὰς μεθεόρτους, καὶ ἀντὶ τῶν Τροπαρίων *Μνήσθητι Κύριε ὡς ἀγαθὸς τῶν δούλων σου* λέγονται τὰ Κοντάκια. Μετὰ τὸ Μεσονυκτικὸν εὐθὺς ψάλλονται τὰ Κατανυκτικὰ Τροπάρια *Ἐλέησον ἡμᾶς Κύριε ἐλέησον ἡμᾶς*, Δόξα *Κύριε ἐλέησον ἡμᾶς*, Καὶ νῦν *Τῆς εὐσπλαγχνίας τὴν πύλην* (τούτου ψαλλομένου αἴρεται τὸ παραπέτασμα τῆς Ὡραίας Πύλης), ὁ δὲ Ἱερεὺς βαλὼν ἐπιτραχήλιον ἵσταται πρὸ τῶν πυλῶν τοῦ ἁγίου Βήματος καὶ βλέπων πρὸς ἀνατολὰς, λέγει, *Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου*, *δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον*· ὁ α΄ Χορὸς *Κύριε ἐλέησον* τρὶς, *Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν*, ὁ β΄ Χορὸς *Κύριε ἐλέησον* τρὶς, *Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν . . . Κύριε ἐλέησον* τρὶς, *Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν ταύτην καὶ τὴν πόλιν* (ἢ χώραν) *ταύτην*, *καὶ πᾶσαν πόλιν καὶ χώραν*, *ἀπὸ ὀργῆς λιμοῦ*, *λοιμοῦ*, *σεισμοῦ*, *καταποντισμοῦ* κτλ. *τὴν καθ' ἡμῶν κινουμένην καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς καὶ ἐλεῆσαι ἡμᾶς*· οἱ Χοροὶ ψάλλουσι τὸ *Κύριε ἐλέησον* ἐκ περιτροπῆς τετράκις ἀνὰ δέκα, ὁ Ἱερεὺς ἔτι *δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν καὶ ἐλεῆσαι ἡμᾶς*· οἱ Χοροὶ τὸ *Κύριε ἐλέησον* ἔτι τρίς· ὁ Ἱερεὺς *Ἐπάκουσον ἡμῶν ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς* κτλ. *ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις*, *καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι*, *νῦν καὶ ἀεὶ*, *καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων*, *Ἀμήν*. Εἶτα στραφεὶς πρὸς τὸν λαὸν ποιεῖ τὴν Ἀπόλυσιν *Δόξα σοι ὁ Θεὸς ἡ ἐλπὶς ἡμῶν*, *δόξα σοι*· *Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν*, *ταῖς πρεσβείαις τῆς Παναχράντου αὐτοῦ Μητρὸς*, *τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων καὶ πάντων τῶν Ἁγίων ἐλεήσαι καὶ σώσαι ἡμᾶς ὡς ἀγαθὸς καὶ φιλάνθρωπος*· καὶ κατελθὼν μίαν βαθμίδα τοῦ βήματος ἐξακολουθεῖ, *Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου* καὶ οἱ Χοροὶ τὸ *Κύριε ἐλέησον* συνεχῶς· *Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν*, *ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν* καὶ καθεξῆς, *εἴπωμεν καὶ ὑπὲρ ἑαυτῶν τὸ Κύριε ἐλέησον* τρὶς καὶ εὐθὺς τὸ *Δι' εὐχῶν*· καὶ ὁ λαὸς *Ἀμήν*. Ὁ Ἱερεὺς λαβὼν συγχώρησιν, εἰσέρχεται εἰς τὸ Ἱερὸν καὶ στὰς ἐνώπιον τῆς ἁγίας Τραπέζης, ἐκφωνεῖ· *Εὐλογητὸς ὁ Θεὸς ἡμῶν*· ὁ ἀναγνώστης τὸ Τρισάγιον· ὁ Ἱερεὺς *Ὅτι σοῦ ἐστιν*· ὁ ἀναγνώστης τὰ Τροπάρια, *Σῶσον Κύριε*· Δόξα *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ*, Καὶ νῦν *Προστασία φοβερά*· ὁ Ἱερεὺς *Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον*· οἱ Χοροὶ *Κύριε ἐλέησον* τρίς· *Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν*· *Κύριε ἐλέησον* τρίς· *Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν*· ἡ Ἐκφώνησις, *Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος*· ὁ Χορὸς *Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ*· ὁ Ἱερεὺς *Δόξα τῇ Ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι*, *πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων*, *Ἀμήν*· καὶ ἀναγινώσκεται ὁ Ἑξάψαλμος, ἀκροωμένου τοῦ λαοῦ ἐν πάσῃ σιωπῇ καὶ κατανύξει· μετὰ τὸν Ἑξάψαλμον ἡ Μ. Συναπτὴ ὑπὸ τοῦ Ἱερέως καὶ ἡ Ἐκφώνησις *Ὅτι πρέπει*. Εἰς τὸ *Θεὸς Κύριος* τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τῆς ἡμέρας καὶ τὸ Θεοτοκίον τοῦ ἤχου ὡς ἐν τῷ Ἑσπερινῷ, εἶτα τὸ Ψαλτήριον τῆς ἡμέρας, καὶ μετὰ τοῦτο ἡ Αἴτησις καὶ ἡ Ἐκφώνησις, *Ὅτι σὸν τὸ κράτος*· Καθίσματα τὰ τῆς Παρακλητικῆς, ὁ Ν΄ Ψαλμὸς, οἱ Κανόνες τῆς Παρακλητικῆς, ἐν οἷς διὰ μὲν τὰ Κατανυκτικὰ τοῦ Κανόνος τροπάρια λέγομεν Στίχον τὸ *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι*· διὰ δὲ τὰ Μαρτυρικὰ, *Ἅγιοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν*, διὰ δὲ τὸν ἕτερον Κανόνα τῆς

Παρακλητικῆς, τῇ μὲν Δευτέρᾳ λέγομεν *Ἀρχάγγελοι τοῦ Θεοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν·* τῇ δὲ Τρίτῃ, *Προφῆτα τοῦ Χριστοῦ πρέσβευε ὑπὲρ ἡμῶν·* τῇ τετάρτῃ καὶ τῇ Παρασκευῇ, *Ὑπεραγία Θεοτόκε Σῶσον ἡμᾶς·* τῇ Πέμπτῃ, *Ἀπόστολοι τοῦ Χριστοῦ πρεσβεύσατε ὑπὲρ ἡμῶν,* καὶ διὰ τὸν τοῦ ἁγίου Νικολάου, *Ἅγιε τοῦ Θεοῦ·* καὶ τῷ Σαββάτῳ διὰ μὲν τὰ Μαρτυρικὰ *Πρεσβείαις τῶν Μαρτύρων σου Χριστὲ ὁ Θεὸς ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου·* διὰ δὲ τὰ Νεκρώσιμα, *Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται,* καὶ διὰ τὰ τῶν κεκοιμημένων, *Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου Κύριε.* Εἶτα λέγομεν τὸν Κανόνα τοῦ Ἁγίου τοῦ Μηναίου μετὰ τοῦ ἁρμοδίου Στίχου, *Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν* (ἐὰν ὦσι δύο, *Ἅγιοι τοῦ Θεοῦ*) ἀπὸ γ' Ὠδῆς ψάλλεται ὁ Εἱρμὸς ἐκ τοῦ Μηναίου, ἡ Αἴτησις, τὸ Κάθισμα τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον· ἀφ' ς' ὁ Εἱρμὸς καὶ ἡ Αἴτησις, τὸ Κοντάκιον τῆς ἡμέρας (ὅρα ἐν τῷ Ὡρολογίῳ) ἐὰν μὴ ἔχῃ ὁ Ἅγιος, καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας· εἶτα ἀναγινώσκονται καὶ αἱ λοιπαὶ τοῦ Κανόνος Ὠδαὶ, ἀπ' θ' *Αἰνοῦμεν εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον,* καὶ ψάλλεται ὁ Εἱρμὸς τῆς η' Ὠδῆς, εἶτα στιχολογεῖται ἡ Τιμιωτέρα καὶ ὁ Εἱρμὸς τῆς θ' Ὠδῆς τοῦ Μηναίου, ἡ Αἴτησις καὶ ἡ Ἐκφώνησις *Ὅτι σὲ αἰνοῦσι·* τὸ Ἐξαποστειλάριον τοῦ Ἁγίου τῆς ἑβδομάδος (ὅρα ἐν τῷ Ὡρολογίῳ ἢ τῇ Παρακλητικῇ), εἶτα τὸ τοῦ Ἁγίου τῆς ἡμέρας ἐν τῷ Μηναίῳ καὶ τὸ Θεοτοκίον, καὶ εὐθὺς τὸ *Σοὶ δόξα πρέπει·* ὁ Ἱερεὺς *Πληρώσωμεν τὴν ἑωθινὴν,* καὶ μετὰ τὸ *Σὸν γὰρ ἐστὶ τὰ Ἀπόστιχα* τῆς Παρακλητικῆς μετὰ τῶν Στίχων αὐτῶν· ὁ Α' *Ἐνεπλήσθημεν τὸ πρωὶ τοῦ ἐλέους σου·* καὶ ὁ Β' *Καὶ ἔστω ἡ λαμπρότης Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐφ' ἡμᾶς* (ὅρα ἐν τῷ Ὡρολογίῳ) Δόξα καὶ Νῦν τὸ Θεοτοκίον, τὸ *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ,* τὸ Τρισάγιον, *Ὅτι σοῦ ἐστιν,* τὸ εἰς τὸ τέλος τοῦ Ὄρθρου Θεοτοκίον καὶ ἄρχεται ἡ Λειτουργία.

3. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα.

Α'.

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ καὶ ψάλλειν τῷ ὀνόματί σου Ὕψιστε.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

Τοῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου καὶ τὴν ἀληθειάν σου κατὰ νύκτα.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου. . .

Ὅτι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου. . .

Δόξα Καὶ νῦν *Ταῖς πρεσβείαις τῆς Θεοτόκου. . .*

Β'.

Ὁ Κύριος ἐβασίλευσεν εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.

Πρεσβείαις τῶν Ἁγίων σου σῶσον ἡμᾶς Κύριε.

Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.

Πρεσβείαις τῶν Ἁγίων σου. . .

Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.

Πρεσβείαις τῶν Ἁγίων σου. . . Δόξα.

Πρεσβείαις τῶν Ἁγίων σου. . . Καὶ νῦν.

Ὁ μονογενὴς Υἱὸς καὶ λόγος τοῦ Θεοῦ. . .

Γ'.

Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστὸς, ψάλλοντάς σοι Ἀλληλούϊα.

Προφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ, ὅτι Θεὸς μέγας Κύριος καὶ βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός. . .

Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν, ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτὴν καὶ τὴν ξηρὰν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστὸς, ψάλλοντάς σοι Ἀλληλούϊα.

Μετὰ τὴν Εἴσοδον, *Δεῦτε προσκυνήσωμεν καὶ προσπέσω-*

μεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστὸς, ψάλλοντάς σοι Ἀλληλούϊα· τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τῆς ἡμέρας, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον τῆς ἡμέρας τῆς ἑβδομάδος (ὅρα ταῦτα ἐν τῷ Ὡρολογίῳ)· τῇ Δευτέρᾳ *Ἀρχιστράτηγοι Θεοῦ*· τῇ Τρίτῃ *Προφῆτα Θεοῦ καὶ Πρόδρομε*· τῇ Τετάρτῃ καὶ τῇ Παρασκευῇ *Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ*· τῇ Πέμπτῃ, *Τοὺς ἀσφαλεῖς καὶ θεοφθόγγους*· τῷ Σαββάτῳ, *Ὡς ἀπαρχὰς τῆς φύσεως*[2]· τὸ Τρισάγιον, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τῆς ἡμέρας· εἰς τὸ *Ἐξαιρέτως, Ἄξιόν ἐστιν*, Κοινωνικὸν τῆς ἡμέρας, *Εἴδομεν τὸ φῶς*, ὁ Ἱερεὺς τὴν Ὀπισθάμβωνον εὐχὴν *Εἴη τὸ ὄνομα Κυρίου* ἐκ γ' *Εὐλογία Κυρίου*· ἡ μεγάλη Ἀπόλυτις καὶ τὸ *Δι' εὐχῶν*.

Ὅταν δὲ μετὰ τὸν Ὄρθρον μὴ ἕπηται Λειτουργία, εὐθὺς μετὰ τὸ *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι* λέγεται τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τῆς ἡμέρας, εὐθὺς *Δεῦτε προσκυνήσωμεν* καὶ συνάπτεται ἡ Α' Ὥρα, καὶ μετ' αὐτὴν ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τῆς ἡμέρας, εἶτα ὁ Ἱερεὺς *Ἐλέησόν ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου* κτλ... *Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν. Σοφία, ὀρθοί· εὐλογητός* ὁ Χορὸς, *Στερεώσαι Κύριος ὁ Θεός*· ὁ Ἱερεὺς, *Δόξα σοι ὁ Θεὸς ἡ ἐλπὶς ἡμῶν δόξα σοι*· τὴν μεγάλην Ἀπόλυσιν καὶ τὸ *Δι' εὐχῶν*.

Ἐν ἡμέρᾳ Σαββάτου εἰς τὸ Ὄρθρον ἐὰν ὁ Ἅγιος μὴ ἔχῃ μήτε Ἐξαποστειλάριον, μήτε Αἶνους, ψάλλομεν Ἐξαποστειλάρια τὰ τῆς ἡμέρας (ἅτινα ὅρα ἐν τῷ τέλει τῆς Παρακλητικῆς ἢ ἐν τῷ τέλει τοῦ Ὡρολογίου), εἰς τοὺς Αἶνους τὰ τῆς Παρακλητικῆς τῶν Αἴνων Στιχηρὰ, ὡς καὶ τὸ Δόξα Καὶ νῦν, τὸ Θεοτοκίον, τὸ *Σοὶ δόξα πρέπει· Πληρώσωμεν τὴν ἑωθινὴν* κτλ. *Σὸν γάρ ἐστι*· καὶ τὰ Νεκρώσιμα Ἀπόστιχα Προσόμοια, τὸ *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἀπόστολοι Μάρτυρες* καὶ καθεξῆς ἡ Λειτουργία.

4. Ὅταν ἡ ἡμέρα τύχῃ προεόρτιος ἢ μεθέορτος Δεσποτικῆς ἢ Θεομητορικῆς ἑορτῆς, τύχῃ δὲ καὶ Ἅγιος ἔχων Δοξαστικὰ, ἐν τῷ

2. *Τινὲς ψάλλουσι καθ' ἑκάστην Κοντάκιον* Προστασία τῶν χριστιανῶν.

Ἑσπερινῷ ψάλλομεν Στιχηρὰ προεόρτια ἢ μεθέορτα γ' καὶ τοῦ Ἁγίου γ'· Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τὸ προεόρτιον ἢ τὸ μεθέορτον, ἐν τοῖς Ἀποστίχοις τὰ προεόρτια, ἢ τὰ μεθέορτα, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τὸ προεόρτιον, ἢ τὸ μεθέορτον, Ἀπολυτίκιον τοῦ Ἁγίου, καὶ τὸ προεόρτιον ἢ τὸ μεθέορτον, ἡ Ἀπόλυσις μετὰ τοῦ χαρακτηριστικοῦ τῆς ἑορτῆς κατὰ τὰς μεθεόρτους ἡμέρας, οὐχὶ δὲ καὶ κατὰ τὰς προεορτίους.

5. Τὸ πρωΐ, εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς ἐν τῷ Ἑσπερινῷ, τὰ προεόρτια Καθίσματα (ἐὰν ὑπάρχωσιν) ἢ τὰ μεθέορτα, ὁ προεόρτιος Κανὼν ἢ ὁ μεθέορτος, καὶ ὁ τοῦ Ἁγίου, ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα τοῦ Ἁγίου καὶ τὸ προεόρτιον ἢ τὸ μεθέορτον, ἀφ' ς' τὸ προεόρτιον Κοντάκιον ἢ τὸ τῆς ἑορτῆς, καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας, μετὰ τὴν Θ' ὁ Εἱρμὸς τῆς η' Ὠδῆς τοῦ Κανόνος τοῦ Ἁγίου, καὶ στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάριον τοῦ Ἁγίου (ἐὰν ἔχῃ) καὶ τὸ προεόρτιον ἢ μεθέορτον· ἐὰν ὁ Ἅγιος ἔχῃ Αἶνους, ψάλλεται τὸ *Πᾶσα πνοὴ* καὶ τὰ Στιχηρὰ τοῦ Ἁγίου, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν προεόρτιον ἢ μεθέορτον· εἰ δὲ μὴ ἔχῃ, μετὰ τὰ Ἐξαποστειλάρια εὐθὺς τὸ *Σοὶ δόξα πρέπει, Πληρώσωμεν τὴν ἑωθινὴν*· ἡ Ἐκφώνησις *Σὸν γὰρ ἐστὶ* καὶ τὰ προεόρτια ἢ μεθέορτα Ἀπόστιχα, ὡς καὶ τὸ Δόξα Καὶ νῦν, τὸ *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι*, τὸ Τρισάγιον, τὸ προεόρτιον Ἀπολυτίκιον ἢ τὸ τῆς ἑορτῆς καὶ ἄρχεται ἡ Λειτουργία, ἐν ᾗ ψάλλομεν ἐν μὲν ταῖς προεορτίοις ἡμέραις Ἀντίφωνα τὰ *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ*, ὡς καὶ ἐν πάσαις ταῖς καθημεριναῖς Λειτουργίαις, ἐν δὲ ταῖς μεθεόρτοις ἡμέραις τὰ τῶν ἑορτῶν Ἀντίφωνα[3], ἀλλ' εἰς τὴν Εἴσοδον *Δεῦτε προσκυνήσωμεν... σῶσον ἡμᾶς* μετὰ τοῦ χαρακτηριστικοῦ τῆς τυχούσης ἑορτῆς, Ἀπολυτίκιον τὸ προεόρτιον ἢ τὸ τῆς ἑορτῆς, τὸ τοῦ Ἁγίου, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, Κοντάκιον προεόρτιον, ἢ τὸ τῆς ἑορτῆς, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς ἡμέρας· εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν τῆς ἡμέρας καὶ Ἀπόλυσις.

3. *Τινὲς καὶ εἰς τὰς μεθεόρτους ἡμέρας ψάλλουσι τὰ καθημερινὰ Ἀντίφωνα.*

ΤΥΠΙΚΗ ΔΙΑΤΑΞΙΣ

ΤΗΣ

ΕΝ ΗΜΕΡΑ ΚΥΡΙΑΚΗ ΑΚΟΛΟΥΘΙΑΣ

ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ, ΤΟΥ ΟΡΘΡΟΥ ΚΑΙ ΤΗΣ ΛΕΙΤΟΥΡΓΙΑΣ

Τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὴν Θ΄ ὥραν, εὐλογήσαντος τοῦ Ἱερέως[1], ὁ χοροστατῶν Ἐπίσκοπος (ἢ ὁ Προϊστάμενος) λέγει τὸν Προοιμιακὸν ψαλμὸν, εἶτα ὁ Διάκονος (ἢ ἐν ἐλλείψει αὐτοῦ ὁ Ἱερεὺς) τὴν μεγάλην Συναπτὴν *Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν·* καὶ ὁ Ἱερεὺς τὴν Ἐκφώνησιν *Ὅτι πρέπει σοι πᾶσα δόξα* καὶ ἀναγινώσκεται ὑπὸ τοῦ ταχθέντος ἀναγνώστου ὁλόκληρον τὸ Α΄ Κάθισμα τοῦ Ψαλτηρίου· μετὰ τοῦτο ὁ Διάκονος λέγει τὴν μικρὰν Συναπτὴν *Ἔτι καὶ ἔτι·* ὁ Ἱερεὺς τὴν Ἐκφώνησιν, *Ὅτι σὸν τὸ κράτος.* Εἶθ' οὕτως ἄρχονται οἱ Χοροὶ ψάλλειν τοὺς ψαλμοὺς ΡΜ΄ καὶ ΡΜΑ΄ ἤτοι τὸ *Κύριε ἐκέκραξα πρὸς σὲ* καὶ τὸ *Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα* εἰς τὸν τυχόντα τῆς ἡμέρας ἦχον μέχρι τοῦ *Ῥῦσαί με ἐκ τῶν καταδιωκόντων με·* ἀπὸ δὲ τοῦ *Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου,* συμψάλλονται σὺν τοῖς λοιποῖς Στίχοις τὰ ζ΄ ἀναστάσιμα τοῦ ἤχου Στιχηρὰ, καὶ τὰ γ΄ τοῦ ἐπιλαχόντος Ἁγίου Προσόμοια μετὰ τῶν ἐφεξῆς Στίχων·

διὰ τὸ α΄ Στιχηρὸν ὁ Στίχος

Ἐξάγαγε ἐκ φυλακῆς τὴν ψυχήν μου τοῦ ἐξομολογήσασθαι τῷ ὀνόματί σου.

---

1. Ἐν ἑκάστῃ Ἐκφωνήσει τοῦ Ἱερέως καταληγούσῃ εἰς τὸ Ἀμήν, ὁ Χορὸς ὀφείλει ἐκ προσώπου τοῦ λαοῦ λέγειν μετὰ μέλους καὶ εὐλαβείας τὸ Ἀμήν· ἄλλως παραβαίνει τὸ καθῆκον αὐτοῦ ὡς ψάλτου.

Τὸ δ΄] **Ἐμὲ ὑπομενοῦσι δίκαιοι, ἕως οὗ ἀνταποδῷς μοι.**

Τὸ γ΄] **Ἐκ βαθέων ἐκέκραξά σοι Κύριε· Κύριε, εἰσάκουσον τῆς φωνῆς μου.**

Τὸ δ΄] **Γενηθήτω τὰ ὦτά σου προσέχοντα εἰς τὴν φωνὴν τῆς δεήσεώς μου.**

Τὸ ε΄] **Ἐὰν ἀνομίας παρατηρήσῃς Κύριε, Κύριε, τίς ὑποστήσεται; Ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.**

Τὸ ς΄] **Ἕνεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε· ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.**

Τὸ ζ΄] **Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς, ἀπὸ φυλακῆς πρωΐας ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.**

Τὸ η΄] **Ὅτι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις, καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.**

Τὸ θ΄] **Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί.**

Τὸ ι΄] **Ὅτι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει εἰς τὸν αἰῶνα.**

(Σημειωτέον ὅτι οὐδόλως συγχωρεῖται τοῖς ψάλλουσι νὰ καταλιμπάνωσιν ἢ κατεσθίωσι λέξεις ἐκ τῶν προψαλλομένων τοῖς Στιχηροῖς Στίχων, διότι ἁμαρτάνουσιν, ἀλλ' ὀφείλει ἕκαστος τούτων λέγειν ὁλοκλήρους τοὺς Στίχους εἰς ἀκοὴν πάντων τῶν ἐκκλησιαζομένων).

Καὶ εἰ μὲν ὁ τυχὼν Ἅγιος ἔχει Δοξαστικὸν, ψάλλονται ἀναστάσιμα Στιχηρὰ ς΄ καὶ Προσόμοια τοῦ Ἁγίου δ΄, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου· εἰ δὲ μὴ ἔχῃ, λέγονται τρία μόνον τοῦ Ἁγίου, Δόξα Καὶ νῦν, τὸ α΄ Θεοτοκίον τοῦ ἤχου· Εἴσοδος, ὁ Προϊστάμενος τὸ *Φῶς ἱλαρόν*· οἱ Χοροὶ τὸ Προκείμενον *Ὁ Κύριος ἐβασίλευσεν* ἐκ τρίτου εἰς ἦχον β΄· μετὰ τὸ Προκείμενον ὁ Διάκονος τὴν Ἐκτενῆ *Εἴπωμεν πάντες* καὶ ὁ Ἱερεὺς τὴν Ἐκφώνησιν *Ὅτι ἐλεήμων*, ὁ Προϊστάμενος τὸ *Καταξίωσον Κύριε*· ὁ Διάκονος, *Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ*· ὁ Ἱερεὺς τὴν Ἐκφώνησιν *Εἴη τὸ κράτος* καὶ ψάλλουσιν οἱ Χοροὶ τὰ

δ΄ Ἀπόστιχα τῆς Ὀκτωήχου Στιχηρὰ, ἀρχῆς γινομένης ἀπὸ τοῦ δ΄ Χοροῦ· τὸ α΄ λέγεται ἄνευ στίχου, τῶν δὲ λοιπῶν τριῶν προψάλλονται οἱ ἑφεξῆς Στίχοι·

δ΄] **Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.**

γ΄] **Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται.**

δ΄] **Τῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, εἰς μακρότητα ἡμερῶν.**

Δόξα Καὶ νῦν, τὸ Ἀπόστιχον Θεοτοκίον τῆς Ὀκτωήχου. Εἰ δὲ ὁ Ἅγιος ἔχει Δοξαστικὸν, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν Θεοτοκίον ἐκ τῆς Ὀκτωήχου σύμφωνον τῷ ἤχῳ τοῦ Δοξαστικοῦ· ὁ Προϊστάμενος τὸ *Νῦν ἀπολύεις*, ὁ ἀναγνώστης τὸ Τρισάγιον· ὁ Ἱερεὺς *Ὅτι σοῦ ἐστιν ἡ βασιλεία*, καὶ οἱ Χοροὶ ψάλλουσιν ὁ α΄ τὸ ἀναστάσιμον Ἀπολυτίκιον καὶ ὁ β΄ Δόξα Καὶ νῦν τὸ Θεοτοκίον· ἐὰν δὲ ἑορτάζηται ὁ Ἅγιος, μετὰ τὸ ἀναστάσιμον Ἀπολυτίκιον ψάλλεται τὸ τοῦ Ἁγίου μετὰ τοῦ Δόξα Πατρὶ, εἶτα Καὶ νῦν καὶ ἀεὶ, τὸ Θεοτοκίον σύμφωνον τῷ ἤχῳ τοῦ Ἀπολυτικίου τοῦ Ἁγίου· μετὰ τὰ Ἀπολυτίκια ὁ Διάκονος ἐκφωνεῖ, *Σοφία*· ὁ Ἱερεὺς *Ὁ ὢν εὐλογητὸς Θεὸς ἡμῶν*· ὁ Προϊστάμενος *Στερεώσαι Κύριος ὁ Θεὸς τὴν ἁγίαν πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων*· ὁ Ἱερεὺς *Δόξα σοι ὁ Θεὸς ἡ ἐλπὶς ἡμῶν δόξα σοι*· ὁ *ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν κτλ.* τὸ *Δι' εὐχῶν*, ὁ Χορὸς τὸ *Ἀμήν*, καὶ οὕτω λήγει ὁ Ἑσπερινός.

ΜΕΣΟΝΥΚΤΙΚΟΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ

2. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον εὐλογήσαντος τοῦ Ἱερέως, ὁ Προϊστάμενος λέγει *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι Βασιλεῦ Οὐράνιε, Παράκλητε*· ὁ Ἀναγνώστης τὸ Τρισάγιον, ὁ Ἱερεὺς *Ὅτι σοῦ ἐστιν, Κύριε ἐλέησον* ιβ΄ *Δόξα Πατρὶ καὶ υἱῷ, Δεῦτε προσκυνήσωμεν* γ΄ καὶ ἀναγινώσκεται ὁ Ν΄ ψαλμὸς, εἶτα ψάλλεται ὁ Τριαδικὸς κανὼν, καὶ ἐὰν ἔχῃ Λιτὴν ὁ Ἅγιος τῆς ἡμέρας ἐπιτάττε-

ται, εἰδ' οὔ, μετὰ τὸν Τριαδικὸν εὐθὺς ψάλλονται τὰ ἑφεξῆς δ' Τριαδικὰ Μεγαλυνάρια.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς τὴν ὑπέρθεον ὑμνεῖν Τριάδα.

Ἄξιόν ἐστιν ὡς ἀληθῶς τοῦ δοξάζειν σε τὸν Θεὸν λόγον.

Ὑμνήσωμεν πάντες Θεοπρεπῶς ἄσμασιν ἐνθέοις.

Ἐκ νεκρῶν ἐδοῦσα τὸν σὸν Υἱὸν, Ἄχραντε Παρθένε

(ὅρα ἐν τῷ Ὡρολογίῳ εἰς τὸ Μεσονυκτικὸν τῆς Κυριακῆς).

Μετὰ τὰ Τριαδικὰ, τὸ Τρισάγιον, καὶ ψάλλεται ἡ Ὑπακοὴ τοῦ ἤχου, ἢ τοῦ Ἁγίου τὸ Ἀπολυτίκιον, ἐὰν ἑορτάζηται, εἶτα ὁ Ἱερεὺς *Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου· ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν... ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν ταύτην καὶ τὴν πόλιν (ἢ τὴν χώραν) ταύτην καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λιμοῦ, λοιμοῦ, σεισμοῦ* κτλ. *Ἐπάκουσον ἡμῶν ὁ Θεὸς* κτλ. *Δόξα σοι ὁ Θεὸς... ὁ ἀναστὰς ἐκ νεκρῶν... Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου... μακαρίσωμεν τοὺς εὐσεβεῖς βασιλεῖς, τοὺς ὀρθοδόξους ἀρχιερεῖς, τοὺς κτίτορας* κτλ. *εἴπωμεν καὶ ὑπὲρ ἑαυτῶν τὸ Κύριε ἐλέησον, Κύριε ἐλέησον, Κύριε ἐλέησον. Δι' εὐχῶν...* ὁ Χορὸς τὸ *Ἀμὴν* καὶ οὕτω συμπληροῦται τὸ Μεσονυκτικὸν καὶ ἄρχεται ὁ Ὄρθρος.

Ο ΟΡΘΡΟΣ

Εὐλογήσαντος τοῦ Ἱερέως, ὁ Ἀναγνώστης λέγει τὸ Τρισάγιον, ὁ Ἱερεὺς *Ὅτι σοῦ ἐστιν*, ὁ Ἀναγνώστης τὰ Τροπάρια, *Σῶσον Κύριε τὸν λαόν σου, Δόξα Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ, Καὶ νῦν Προστασία φοβερά.* Ὁ Ἱερεὺς, *Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου·* ἡ Ἐκφώνησις *Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος*, ὁ Χορὸς *Ἐν ὀνόματι Κυρίου εὐλόγησον Πάτερ·* ὁ Ἱερεὺς *Δόξα τῇ Ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριά-*

δι, ὁ Χορὸς ἐπᾴδει τὸ *Ἀμὴν*, καὶ ὁ Προϊστάμενος ἄρχεται τοῦ Ἑξαψάλμου, πάντων ἐν πάσῃ σιωπῇ καὶ κατανύξει ἀκροωμένων καὶ μηδενὸς μήτε ὑπὸ βηχὸς μήτε ὑπὸ ἄλλης ἀνησυχίας τὴν κατανυκτικὴν προσευχὴν ταράττοντος, ὡς διαγορεύουσι τὰ ἀρχαῖα Τυπικά. Μετὰ τὸν Ἑξάψαλμον ὁ Ἱερεὺς τὴν μεγάλην Συναπτὴν καὶ τὴν Ἐκφώνησιν *Ὅτι πρέπει* καὶ οὕτως ἄρχονται οἱ Χοροὶ ψάλλειν τετράκις τὸ *Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν* εἰς τὸν ἦχον τῆς ἡμέρας μετὰ τῶν ὡρισμένων ἀπὸ τοῦ β' στίχων *Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς. Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν·* καὶ τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, ἀλλὰ τὸ πρῶτον διπλασιάζεται· ἐὰν δὲ ἦ ὁ Ἅγιος τῆς ἡμέρας ἑορταζόμενος, τὸ ἀναστάσιμον Ἀπολυτίκιον ἅπαξ, εἶτα Δόξα Πατρὶ τὸ τοῦ Ἁγίου, Καὶ νῦν τὸ Θεοτοκίον ὡς εἰς τὸν Ἑσπερινόν· μετὰ τὰ Ἀπολυτίκια ἀναγινώσκεται τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος (ἐὰν ὁ Ἅγιος τῆς ἡμέρας ἢ ἑορταζόμενος), εἰδὲ μὴ, ὁ Ἀμωμος· μετὰ ταῦτα ψάλλονται τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν, ἐὰν δὲ ὁ Ἅγιος ἔχῃ Καθίσματα, ψάλλονται τὰ τῆς γ' Στιχολογίας[2]· εἶτα τὰ Εὐλογητάρια, καὶ μετὰ ταῦτα ὁ Ἱερεὺς τὴν Αἴτησιν καὶ τὴν Ἐκφώνησιν *Ὅτι ηὐλόγηται καὶ δεδόξασται·* ἀκολούθως ἡ Ὑπακοὴ τοῦ ἤχου, οἱ Ἀναβαθμοὶ, καὶ τὸ Προκείμενον· μετ' αὐτὸ ἄρχονται οἱ Χοροὶ ψάλλειν τοὺς Κανόνας, τὸν Ἀναστάσιμον, καὶ τὸν τοῦ Ἁγίου ἀνὰ δ' Τροπ. ἀφ' ἑκάστης Ὠδῆς. Στίχους δὲ εἰς μὲν τὸν Ἀναστ. μετὰ τὸν Εἱρμὸν, *Δόξα τῇ ἁγίᾳ Ἀναστάσει σου Κύριε*, εἰς δὲ τὸν τοῦ Ἁγίου, *Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.* Ἀπὸ γ' Ὠδῆς, ὁ Ἱερεὺς τὴν Αἴτησιν καὶ τὴν Ἐκφώνησιν, *Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν*, τὸ Κοντάκιον τοῦ Ἁγίου, ἐὰν ᾖ ἑορταζόμενος, λέγεται ἐνταῦθα καὶ ἔπειτα ψάλλεται τὸ Κάθισμα τοῦ Ἁγίου μετὰ τοῦ Θεοτοκίου ἀφ' ς', ὁ Ἱερεὺς τὴν Αἴτησιν καὶ τὴν Ἐκφώνησιν *Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης* καὶ ἀναγινώσκεται παρὰ τοῦ Ἀναγνώστου τὸ Κοντάκιον καὶ

---

2. *Ἐὰν ὁ ἑορταζόμενος Ἅγιος ᾖ ἐκ τῶν ἐπισημότερον ὑπὸ τῆς Ἐκκλησίας εὐφημουμένων, καὶ ἐν ταῖς δυσὶ πρώταις στιχολογίαις τῶν Καθισμάτων, ψάλλονται ἀνὰ ἓν ἐκ τῶν τοῦ Ἁγίου, ὡς ἐν ταῖς ἰδιαιτέραις αὐτῶν Ἀκολουθίαις σημειοῦται.*

ὁ Οἶκος τῆς Ὀκτωήχου, τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας, καὶ ἀκολούθως ψάλλονται ἡ ζ΄, η΄ καὶ θ΄ Ὠδὴ τῶν Κανόνων. Μετὰ τοὺς Κανόνας ἄρχονται οἱ Χοροὶ ψάλλειν τὰς Καταβασίας· μετὰ τὴν η΄ Ὠδὴν ὁ Διάκ. ἐκφωνεῖ *Τοῦ Κυρίου δεηθῶμεν*· ὁ Ἱερ. *Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ Ἁγίοις ἐπαναπαύῃ*· οἱ Χοροὶ τὸ *Πᾶσα πνοὴ* εἰς ἦχον β΄ ἐκ τρίτου, ὁ Διάκ. *Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου· Σοφία, ὀρθοὶ, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου*· ὁ Ἱερ. *Εἰρήνη πᾶσι*, οἱ Χοροὶ *Καὶ τῷ πνεύματί σου*· ὁ Ἱερ. *ἐκ τοῦ. . . ἁγίου Εὐαγγελίου . . . Πρόσχωμεν* καὶ ἀναγινώσκει τὸ Ἑωθ. Εὐαγγέλιον, μεθ' ὃ ὁ Χορὸς ψάλλει τὸ *δόξα σοι, Κύριε, δόξα σοι*· καὶ ὁ Προϊστάμενος λέγει τὸ *Ἀνάστασιν Χριστοῦ θεασάμενοι*, οἱ δὲ Χοροὶ ψάλλ. τὸν Ν΄ ψαλ. Εἰς τὸ *Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας* ἐξέρχεται ὁ Ἱερ. μετὰ τοῦ Ἰ. Εὐαγγελίου καὶ ἵσταται ἐν τῷ μέσῳ τοῦ ναοῦ, ὁ δὲ Ἐπίσκοπος ἢ ὁ Προϊστάμενος ἀσπάζεται τὸ Εὐαγ., εἶτα δὲ καὶ ὁ λαὸς ἐν τάξει καὶ εὐλαβείᾳ· μετὰ τὸ πέρας τοῦ Ν΄ Δόξα *Ταῖς τῶν Ἀποστόλων πρεσβείαις ἐλεήμων*, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου πρεσβείαις ἐλεήμων*· ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς . . .* καὶ τὸ *Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου*. Εἶτα ὁ Ἱερ. *Σῶσον ὁ Θεὸς τὸν λαόν σου* καὶ τὰ λοιπὰ μέχρι τοῦ *Ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς*· οἱ Χοροὶ ψάλλουσι δ΄ τὸ *Κύριε ἐλέησον* ἀνὰ τρίς. Καὶ ὁ Ἱερ. *Ἐλέει καὶ οἰκτιρμοῖς*, καὶ εὐθὺς ὁ Διάκονος ἐκφωνεῖ, *Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ Φωτὸς ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν*· καὶ οἱ Χοροὶ ψάλλουσιν εἰς τὸν ἦχον τῶν Καταβασιῶν, *Τὴν τιμιωτέραν* προτάττοντες ἕνα ἕκαστον ἐκ τῶν Στίχων τῆς θ΄ Ὠδῆς τῆς Θεοτόκου.

Α΄] **Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.**

Τὴν τιμιωτέραν τῶν Χερουβίμ.

Β΄] **Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ· ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.**

Τὴν τιμιωτέραν.

Γ΄] **Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατὸς καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ· καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.**

Τὴν τιμιωτέραν.

Δ΄] **Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.**

Τὴν τιμιωτέραν.

Ε΄] **Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς· πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.**

Τὴν τιμιωτέραν.

ΣΤ΄] **Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ, μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ, καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.**

Τὴν τιμιωτέραν.

Καὶ ἀκολούθως ψάλλεται καὶ ἡ Θ΄ Καταβασία. Εἶτα ὁ Ἱερεὺς *Ἔτι καὶ ἔτι, καὶ τὴν Ἐκφώνησιν Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις τῶν οὐρανῶν*, καὶ οἱ Χοροὶ ψάλλουσιν *Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν* ἐκ δευτέρου, εἶτα τὸ *Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν*· καὶ τὸ ἀναστάσιμον Ἐξαποστειλάριον μετὰ τοῦ Θεοτοκίου· ἐὰν δὲ ὁ τυχὼν Ἅγιος ἔχῃ Ἐξαποστειλάριον, ψάλλονται μετὰ τὸ Ἀναστάσιμον, τὸ τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον αὐτοῦ. Μετὰ τὰ Ἐξαποστειλάρια ψάλλονται οἱ Αἶνοι· ὁ α΄ Χορὸς *Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον*· ὁ β΄ Χορὸς, *Αἰνεῖτε αὐτὸν πάντες οἱ Ἄγγελοι αὐτοῦ*· ἀπὸ δὲ τοῦ *Δόξα αὕτη* ψάλλονται τὰ τῶν Αἴνων η΄ ἀναστάσιμα Στιχηρὰ μετὰ τῶν ἐφεξῆς στίχων.

Α΄] **Δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.**

Β΄] **Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς Ἁγίοις αὐτοῦ, αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.**

Γ΄] **Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.**

Δ΄] **Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.**

Ε΄] **Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.**

ΣΤ΄] **Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.**

Ζ΄] **Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὑψωθήτω ἡ χείρ σου, μὴ ἐπιλάθῃ τῶν πενήτων σου εἰς τέλος.**

Η΄] **Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου διηγήσομαι πάντα τὰ θαυμάσιά σου.**

Ἐὰν δὲ ὁ Ἅγιος ἔχῃ Αἶνους, ψάλλονται ἀναστάσιμα Στιχηρὰ δ΄ καὶ τοῦ Ἁγίου δ΄, ἀλλὰ τότε ἀντὶ τῶν ἀνωτέρω ζ΄ καὶ η΄ στίχων λέγονται τοῦ Ἁγίου οἱ κατάλληλοι, οἵτινες ἀπαντῶνται συνήθως ἐν τοῖς Ἀποστίχοις τοῦ Ἑσπερινοῦ. Εἶτα Δόξα τὸ Ἑωθινόν, Καὶ νῦν *Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε, ὑμνοῦμέν σε·* καὶ ψάλλεται ἡ Μ. Δοξολογία εἰς τὸν ἦχον τοῦ Δοξαστικοῦ. Ψαλλομένης τῆς Δοξολογίας λέγει ὁ Διάκονος μυστικῶς τὴν Ἐκτενῆ *Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου·* κτλ. ὁ Ἱερεὺς *Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος·* ἔτι ὁ Διάκονος *Πληρώσωμεν τὴν ἐωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ·* κτλ. ὁ Ἱερεὺς *Ὅτι Θεὸς ἐλέους, οἰκτιρμῶν . . . Εἰρήνη πᾶσι·* ὁ Διάκονος *Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνατε·* ὁ Ἱερεὺς τὴν Εὐχὴν *Κύριε, ἅγιε, ὁ ἐν ὑψηλοῖς κατοικῶν·* τὴν Ἐκφώνησιν *Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς,* καὶ τὴν Μ. Ἀπόλυσιν. Ὁ δὲ β΄ Χορὸς μετὰ τὴν Δοξολογίαν ψάλλει τὸ Τροπάριον *Σήμερον σωτηρία τῷ κόσμῳ γέγονε·* καὶ οὕτως ἄρχεται ἡ Λειτουργία.

Η ΛΕΙΤΟΥΡΓΙΑ

Ὁ Διάκονος *Εὐλόγησον Δέσποτα·* ὁ Ἱερεὺς *Εὐλογημένη ἡ βασιλεία τοῦ πατρός·* ὁ Χορὸς ἐπᾴδει τὸ *Ἀμὴν* μετὰ μέλους· ὁ Διάκονος τὴν Μ. Συναπτὴν *Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν,* τῶν Χορῶν ψαλλόντων ἐν ἑκάστῃ Αἰτήσει τὸ *Κύριε ἐλέησον·* μετὰ τὸ τέλος τῆς Συναπτῆς, ὁ Ἱερεὺς τὴν Ἐκφώνησιν *Ὅτι πρέπει σοι πᾶσα δόξα·* καὶ οἱ Χοροὶ ψάλλουσι τὰ Τυπικὰ, *Εὐλόγει ἡ ψυχή*

μου τὸν Κύριον εἰς ἦχον πλάγιον τοῦ δ΄· μετὰ τὸ τέλος τοῦ Ψαλμοῦ ὁ Διάκονος *Ἔτι καὶ ἔτι·* ὁ Ἱερεύς, *Ὅτι σὸν τὸ κράτος·* καὶ ὁ β΄ Χορὸς ἄρχεται εἰς ἦχον β΄ *Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, Αἶνει ἡ ψυχή μου τὸν Κύριον·* μετὰ τὸ τέλος ὁ Διάκονος *Ἔτι καὶ ἔτι·* ὁ Ἱερεὺς *Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος·* καὶ ὁ α΄ Χορὸς ἄρχεται τῶν Μακαρισμῶν οὕτως:

Ἐν τῇ βασιλείᾳ σου μνήσθητι ἡμῶν, Κύριε, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου. Μακάριοι οἱ πτωχοὶ τῷ πνεύματι, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν.

Ὁ β΄. **Μακάριοι οἱ πενθοῦντες, ὅτι αὐτοὶ παρακληθήσονται.**

Ὁ α΄. **Μακάριοι οἱ πραεῖς, ὅτι αὐτοὶ κληρονομήσουσι τὴν γῆν.**

Ὁ β΄. **Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην, ὅτι αὐτοὶ χορτασθήσονται.**

Ὁ α΄. **Μακάριοι οἱ ἐλεήμονες ὅτι αὐτοὶ ἐλεηθήσονται.**

(Καὶ ἀπὸ τοῦ στίχου τούτου ψάλλονται τὰ τῶν Μακαρισμῶν η΄ ἀναστάσιμα Στιχηρὰ, μετὰ τῶν λοιπῶν Μακαρισμῶν· ἂν ὅμως ὁ Ἅγιος τῆς ἡμέρας ᾖ ἑορταζόμενος, λέγονται μόνον τὰ δ΄ πρῶτα ἀναστάσιμα Στιχηρὰ, καὶ ἔπειτα ἐκ τῆς σ΄ Ὠδῆς τοῦ Κανόνος τοῦ Ἁγίου ἕτερα δ΄).

ὁ β΄. **Μακάριοι οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται.**

ὁ α΄. **Μακάριοι οἱ εἰρηνοποιοί, ὅτι αὐτοὶ υἱοὶ Θεοῦ κληθήσονται.**

ὁ β΄. **Μακάριοι οἱ δεδιωγμένοι ἕνεκεν δικαιοσύνης, ὅτι αὐτῶν ἐστιν ἡ βασιλεία τῶν Οὐρανῶν.**

ὁ α΄. **Μακάριοί ἐστε ὅταν ὀνειδίσωσιν ὑμᾶς καὶ διώξωσι, καὶ εἴπωσι πᾶν πονηρὸν ῥῆμα καθ' ὑμῶν ψευδόμενοι, ἕνεκεν ἐμοῦ.**

ὁ β΄. **Χαίρετε καὶ ἀγαλλιᾶσθε, ὅτι ὁ μισθὸς ὑμῶν πολὺς ἐν τοῖς Οὐρανοῖς.**

Εἶτα ὁ α΄. **Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.**

ὁ β΄. **Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.**

Ἡ Εἴσοδος μετὰ τοῦ Εὐαγγ. ὁ Διάκον. *Σοφία, ὀρθοί.* Ὁ α΄ Χορὸς *Δεῦτε προσκυνήσωμεν ... σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν,* ὁ β΄ Χορὸς συμπληροῖ τοῦτο λέγων *Ψάλλοντάς σοι, Ἀλληλούϊα·* ὁ α΄ Χορὸς τὸ ἀναστάσιμον Ἀπολυτίκ. τοῦ ἤχου, ὁ β΄ τὸ τοῦ Ἁγίου (ἐὰν ἐλέχθη καὶ εἰς τὸ *Θεὸς Κύριος*), εἶτα τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ τὸ Κοντάκιον. Μετὰ ταῦτα ὁ Διάκ. *Τοῦ Κυρίου δεηθῶμεν,* ὁ Χορὸς *Κύριε ἐλέησον,* ὁ Ἱερεὺς *Ὅτι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν ...* ὁ Χορὸς ἐπᾴδει τὸ *Ἀμήν,* εἶτα ψάλλεται ὁ Τρισάγιος Ὕμνος[3], μεθ' ὃν ὁ Ἀναγνώστης λέγει τὰ Προκείμενα τοῦ Ἀποστόλου καὶ ὁ Διάκον. ἐκφωνεῖ *Πρόσχωμεν, σοφία, πρόσχωμεν·* καὶ ἀναγινώτκεται ὁ Ἀπόστολος. Μετὰ τὸ τέλος, ὁ β΄ Χορὸς ψάλλει τὸ *Ἀλληλούϊα* ἐκ τρίτου εἰς ἦχον β΄, ὁ δὲ Ἱερ. ἱστάμενος ἔμπροσθεν τῆς Ὡραίας Πύλης ἐκφωνεῖ (ἐὰν μὴ ᾖ ἕτερος Διάκονος) *Σοφία, ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου,* ὁ Ἱερ. *Εἰρήνη πᾶσι,* οἱ Χοροὶ *Καὶ τῷ πνεύματί σου,* ὁ δὲ Διάκον. ἀπὸ τοῦ Ἄμβωνος[4] λέγει *Ἐκ τοῦ κατὰ . . . ἁγίου Εὐαγγ. τὸ ἀνάγνωσμα,* ὁ Ἱερ. (ἐὰν μὴ ᾖ ἄλλος διάκονος) *Πρόσχωμεν,* καὶ ἀναγινώτκεται τὸ Εὐαγγέλ. Μετὰ τὸ τέλος, ὁ α΄ Χορὸς ψάλλει μετὰ μέλους τὸ *Δόξα σοι Κύριε δόξα σοι,* ὁ Διάκ. τὴν Ἐκτενῆ *Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς . . . μετὰ τῶν κατηχουμένων,* τοῦ Ἱερέως ἐκφωνοῦντος ἑκάστοτε τὴν ὡρισμένην Ἐκφώνησιν. Μετὰ δὲ τὸ *Ὅπως ὑπὸ τοῦ κράτους σου πάντοτε φυλαττόμενοι ...* ἄρχεται ὁ α΄ Χορὸς ψάλλων μετὰ μέλους, ἀλλὰ καὶ μετ' εὐλαβείας καὶ κατανύξεως, εἰς τὸν ἦχον τῆς ἡμέρας τὸν Χερουβικὸν Ὕμνον·

---

3. *Τοῦ τελευταίου Τρισαγίου τὸ* **Δύναμις**, *Διακόνου λειτουργοῦντος, λέγεται ὑπ' αὐτοῦ.*

4. *Διακόνου μὴ ὄντος, λέγει πάντα τὰ τοῦ Διακόνου ὁ Ἱερεύς· ἀλλὰ τὸ Εὐαγγέλιον ἀναγινώσκει ἀπὸ τῆς Ὡραίας Πύλης καὶ οὐχί ποτε ἀπὸ τοῦ ἄμβωνος, ὡς τινες ἐν τοῖς τελευταίοις τούτοις χρόνοις ἐξ ἀγνοίας ἢ φιλοδοξίας ἀκαίρου ἠθέλησαν ἵνα εἰσαγάγωσι.*

Οἱ τὰ Χερουβὶμ μυστικῶς εἰκονίζοντες καὶ τῇ Ζωοποιῷ Τριάδι τὸν Τρισάγιον ὕμνον προσᾴδοντες πᾶσαν τὴν βιωτικὴν ἀποθώμεθα μέριμναν· (τὸ ἐπίλοιπον τοῦ ὕμνου ψάλλει ὁ β΄ Χορὸς) **ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν· Ἀλληλούϊα.**

Μετὰ τὴν Εἴσοδον τῶν Ἁγίων, ὁ Διάκον. *Πληρώσωμεν τὴν δέησιν ἡμῶν τῷ Κυρίῳ. Ὑπὲρ τῶν προτεθέντων τιμίων δώρων* κτλ. Εἰς τὸ τέλος ὁ Ἱερ. τὴν Ἐκφώνησιν *Διὰ τῶν οἰκτιρμῶν τοῦ μονογενοῦς σου Υἱοῦ* καὶ εὐθὺς *Εἰρήνη πᾶσι,* οἱ Χοροὶ καὶ *τῷ πνεύματί σου·*

ὁ Διάκονος *Ἀγαπήσωμεν ἀλλήλους ἵνα ἐν ὁμονοίᾳ ὁμολογήσωμεν.*

ὁ α΄ Χορὸς *Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον.*

ὁ Διάκονος *Τὰς θύρας, τὰς θύρας· ἐν σοφίᾳ πρόσχωμεν.*

Ὁ Προϊστάμενος λέγει εὐλαβῶς καὶ εὐκρινῶς τὸ Σύμβολον τῆς πίστεως· μεθ' ὃ ὁ Διάκονος ἐκφωνεῖ·

Στῶμεν καλῶς, στῶμεν μετὰ φόβου· πρόσχωμεν τὴν ἁγίαν ἀναφορὰν ἐν εἰρήνῃ προσφέρειν.

ὁ α΄ Χορὸς *Ἔλεον εἰρήνης, Θυσίαν αἰνέσεως.*

ὁ Ἱερεὺς *Ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς, καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος, εἴη μετὰ πάντων ἡμῶν.*

ὁ β΄ Χορὸς *Καὶ μετὰ τοῦ πνεύματός σου.*

ὁ Ἱερεὺς *Ἄνω σχῶμεν τὰς καρδίας.*

ὁ α΄ Χορὸς *Ἔχομεν πρὸς τὸν Κύριον.*

ὁ Ἱερεὺς *Εὐχαριστήσωμεν τῷ Κυρίῳ.*

ὁ β΄ Χορὸς *Ἄξιον καὶ δίκαιον.*

ὁ Ἱερεὺς *Τὸν ἐπινίκιον ὕμνον ᾄδοντα* κτλ.

ὁ α΄ Χορὸς *Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαββαὼθ, πλήρης ὁ Οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου· ὡσαννὰ ἐν τοῖς ὑψίσ-*

στοις, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Ὡσαννὰ ὁ ἐν τοῖς ὑψίστοις.

ὁ Ἱερεὺς Λάβετε, φάγετε· τοῦτό μού ἐστι τὸ Σῶμα·

ὁ δ' Χορὸς Ἀμήν·

ὁ Ἱερεὺς Πίετε ἐξ αὐτοῦ πάντες· τοῦτό ἐστι τὸ αἱμά μου·

ὁ α' Χορὸς Ἀμήν.

ὁ Ἱερεὺς Τὰ σὰ ἐκ τῶν σῶν σοὶ προσφέρομεν κατὰ πάντα καὶ διὰ πάντα.

ὁ δ' Χορὸς Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου ὁ Θεὸς ἡμῶν.

ὁ Ἱερεὺς Ἐξαιρέτως τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Καὶ ὁ α' Χορ. ψάλλει, Ἄξιόν ἐστιν ὡς ἀληθῶς εἰς ἦχον δ', μεθ' ὃ ὁ Ἱερεὺς ἐκφωνεῖ Ἐν πρώτοις μνήσθητι, Κύριε, τοῦ Ἀρχιεπισκόπου ἡμῶν κτλ. οἱ Χορ. Κύριε ἐλέησον· ὁ Διάκ. Καὶ ὧν ἕκαστος κατὰ διάνοιαν ἔχει, καὶ πάντων καὶ πασῶν· οἱ Χορ. Κύριε ἐλέησον· ὁ Ἱερ. Καὶ δὸς ἡμῖν ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ δοξάζειν· Καὶ ἔσται τὰ ἐλέη τοῦ μεγάλου Θεοῦ· οἱ Χορ. Καὶ μετὰ τοῦ πνεύματός σου· ὁ Διάκ. Πάντων τῶν ἁγίων μνημονεύσαντες· κτλ. μέχρι τοῦ Τὴν ἑνότητα τῆς πίστεως· ὁ Ἱερ. ἐκφωνεῖ Καὶ καταξίωσον ἡμᾶς, Δέσποτα κτλ. ὁ Προϊστάμενος λέγει τὴν Κυριακὴν Προσευχὴν, ὁ Ἱερ. τὴν Ἐκφώνησιν Ὅτι σοῦ ἐστιν ἡ βασιλεία· εἶτα Εἰρήνη πᾶσι· οἱ Χορ. Καὶ τῷ πνεύματί σου· ὁ Διάκ. Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν· ὁ Ἱερ. Χάριτι καὶ οἰκτιρμοῖς καὶ φιλανθρωπίᾳ τοῦ μονογενοῦς σου Υἱοῦ· ὁ Διάκ. ἐκφωνεῖ Πρόσχωμεν· ὁ Ἱερ. Τὰ Ἅγια τοῖς ἁγίοις· οἱ Χορ. Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστὸς εἰς δόξαν Θεοῦ Πατρὸς, Ἀμήν· καὶ ἄρχεται ὁ δ' Χορ. ψάλλειν μετὰ μέλους εἰς τὸν ἦχον τῆς ἡμέρας τὸ Κοινωνικὸν Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν, Ἀλληλούϊα, μεθ' ὃ ὁ Διάκον. ἐμφανισθεὶς ἔμπροσθεν τῶν ἁγίων Πυλῶν μετὰ τοῦ ἱεροῦ Ποτηρίου, ἐκφωνεῖ· Μετὰ φόβου Θεοῦ πίστεως καὶ ἀγάπης προσέλθετε· ὁ Ἱερεὺς εὐλογῶν τὸν λαὸν ἐκφωνεῖ,

Σῶσον ὁ Θεὸς τὸν λαόν σου· καὶ ὁ α' Χορ. ψάλλει εἰς ἦχον δ' τὸ Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν· ὁ Ἱερεὺς λαβὼν καὶ ὑψῶν τὸ ἱερὸν Ποτήριον, λέγει ταπεινῇ τῇ φωνῇ ἐπὶ τῆς ἁγίας Τραπέζης, Εὐλογητὸς ὁ Θεὸς ἡμῶν· εἶτα στρέφων πρὸς τὸν λαὸν λέγει ἐκφώνως: Πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ὁ Χορ. Ἀμήν, καὶ ὁ Διάκον. Ὀρθοὶ μεταλαβόντες τῶν θείων ἁγίων, καὶ ὁ Ἱερ. τὴν Ἐκφώνησιν, Ὅτι σὺ εἶ ὁ ἁγιασμὸς ἡμῶν· ὁ Διάκον. Ἐν εἰρήνῃ προέλθωμεν· τοῦ Κυρίου δεηθῶμεν· ὁ Χορὸς Κύριε ἐλέησον τρίς· ὁ Ἱερεὺς τὴν ὀπισθάμβωνον εὐχὴν Ὁ εὐλογῶν τοὺς εὐλογοῦντάς σε, Κύριε· μετὰ τὴν εὐχὴν οἱ Χοροὶ ψάλλουσι τρὶς χῦμα, ἀλλ' εὐλαβῶς, εἰς ἦχον δ' τὸ Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος· εἶτα ὁ Διάκον. Τοῦ Κυρίου δεηθῶμεν· ὁ Χορὸς Κύριε ἐλέησον τρίς· ὁ Ἱερεὺς Εὐλογία Κυρίου καὶ ἔλεος αὐτοῦ ἔλθοι ἐφ' ἡμᾶς· ὁ Προϊστάμενος λέγει τὸ Στερεώσαι Κύριος, ὡς ἐν τῷ Ἑσπερινῷ, ὁ Ἱερεὺς πάλιν Δόξα σοι ὁ Θεὸς· ὁ ἀναστὰς ἐκ νεκρῶν κτλ. εἰς τὸ τέλος Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν· οἱ Χοροὶ Ἀμήν, καὶ ἀσπασάμενοι πάντες τὴν τοῦ ἱερουργοῦντος χεῖρα καὶ λαβόντες τὴν τῷ ἀντιδώρῳ τὴν εὐλογίαν αὐτοῦ, ἐξέρχονται εὐχαριστοῦντες τῷ Θεῷ.

ΤΥΠΙΚΗ ΔΙΑΤΑΞΙΣ

ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ

ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ, ΤΟΥ ΟΡΘΡΟΥ ΚΑΙ ΤΗΣ ΛΕΙΤΟΥΡΓΙΑΣ

ΤΩΝ ΚΑΤΑ ΜΗΝΑ

ΔΕΣΠΟΤΙΚΩΝ ΚΑΙ ΘΕΟΜΗΤΟΡΙΚΩΝ ΕΟΡΤΩΝ

ΚΑΙ ΤΩΝ ΕΟΡΤΑΖΟΜΕΝΩΝ ΑΓΙΩΝ

ΜΗΝ ΣΕΠΤΕΜΒΡΙΟΣ

Τῇ Α'.—Ἀρχὴ τῆς Ἰνδίκτου, ἤτοι τοῦ νέου ἔτους, καὶ μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Συμεὼν τοῦ Στυλίτου, καὶ ἡ Σύναξις τῆς Ὑπεραγίας Θεοτόκου τῶν Μιασηνῶν.

1. Εἰ τύχοι ἡ α΄ τῆς Ἰνδίκτου ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἐν τῷ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν καὶ τὴν Α΄ Στάσιν τοῦ Ψαλτηρίου εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Στιχηρὰ Προσόμοια τῆς Ἰνδίκτου γ΄, τοῦ Ὁσίου Προσόμοια γ΄ *Ὅσιε Πάτερ* καὶ ἕτερα Ἰδιόμελα δ΄ *Ἐκ ῥίζης ἀγαθῆς*, Δόξα *Θεία χάρις*, Καὶ νῦν *Ὁ Πνεύματι Ἁγίῳ*, Εἴσοδος *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα τὰ δ΄ Ἰδιόμελα τῆς Ἰνδίκτου, Δόξα *Ὅσιε Πάτερ*, Καὶ νῦν *Σὺ Βασιλεῦ*, τὰ Ἀπολυτίκια τῆς Ἰνδίκτου *Ὁ πάσης δημιουργὸς*, τοῦ Ὁσίου *Ὑπομονῆς στύλος*, τῆς Θεοτόκου *Χαῖρε Κεχαριτωμένη* καὶ Ἀπόλυσις.

2. Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ Ψαλμὸν τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς Ἰνδίκτου καὶ ὁ Ἑξάψαλμος, εἰς τὸ *Θεὸς Κύ-*

ριος τὰ Ἀπολυτίκια, ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον, τὰ Καθίσματα κατὰ σειρὰν, ὁ Ν΄ χῦμα καὶ οἱ Κανόνες, ἀπὸ γ΄ Ὠδῆς Κάθισμα τοῦ Ὁσίου καὶ τῆς Ἰνδίκτου, ἀφ΄ ς΄ τὸ Κοντάκιον *Ὁ τῶν αἰώνων ποιητὴς καὶ δεσπότης*, ὁ Οἶκος *Ἀρρήτῳ πάντα ὡς Θεῷ ποιήσαντι σοφίᾳ* καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας, αἱ Καταβασίαι *Σταυρὸν χαράξας, Τὴν Τιμιωτέραν* καὶ τὰ γ΄ Ἐξαποστειλάρια. Εἰς τοὺς Αἴνους τὰ δ΄ τῆς Ἰνδίκτου Ἰδιόμελα, Δόξα τοῦ Ὁσίου *Ἐκ ῥίζης ἀγαθῆς*, Καὶ νῦν τῆς Ἰνδίκτου *Ὁ ἀρρήτῳ σοφίᾳ*, Δοξολογία Μ. καὶ Ἀπολυτίκιον τῆς Ἰνδίκτου.

3. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ, οἱ Μακαρισμοί· Τροπάρια ἐκ τῆς γ΄ καὶ ς΄ Ὠδῆς τοῦ Κανόνος τῆς Ἰνδίκτου· μετὰ τὴν Εἴσοδον τὰ Ἀπολυτίκια τῆς Ἰνδίκτου, τὸ *Χαῖρε κεχαριτωμένη*, τὸ τοῦ Ὁσίου, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ τὸ Κοντάκιον *Ὁ τῶν αἰώνων ποιητὴς καὶ δεσπότης*· τὸ Τρισάγιον, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Ἰνδίκτου. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Εὐλόγησον τὸν στέφανον*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

4. Εἰ τύχοι ἐν ἡμέρᾳ Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ α΄ Κάθισμα τοῦ Ψαλτηρίου, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ΄, τῆς Ἰνδίκτου γ΄ καὶ τοῦ Ὁσίου γ΄ τὰ *Ὅσιε Πάτερ*· Δόξα τῆς Ἰνδίκτου *Ὁ πνεύματι ἁγίῳ*, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα *Ὅσιε Πάτερ*, Καὶ νῦν *Σὺ βασιλεῦ*· Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τῆς Ἰνδίκτου, τῆς Θεοτόκου *Χαῖρε κεχαριτωμένη*, καὶ Ἀπόλυσις.

5. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν΄ ψαλμὸν ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς Ἰνδίκτου καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ Ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν καὶ τὸ τῆς Ἰνδίκτου *Ὁ καιροὺς καρποφόρους* δὶς, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου, καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τῆς Ἰνδίκτου μετὰ Στίχου *Δόξα σοι ὁ Θεός*· ἀπὸ γ΄ Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου χῦμα, καὶ τὸ τελευταῖον Κάθισμα τῆς Ἰνδίκτου *Ὡς δεσπότῃ τοῦ παντὸς*

ἄπαξ, ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τὰ τῆς Ἰνδίκτου καὶ τὸ Μηνολόγιον τῆς ἡμέρας· αἱ Καταβασίαι *Σταυρὸν χαράξας* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τοῦ Ὁσίου καὶ τὸ τῆς Ἰνδίκτου. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ΄ καὶ τῆς Ἰνδίκτου τὰ τοῦ Ἑσπερινοῦ *Τῆς αὐτολέκτου καὶ θείας* εἰς δ΄. Δόξα *Ὁ ἀρρήτῳ σοφίᾳ*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. καὶ τὸ *Σήμερον σωτηρία*.

6. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Κανόνος τῆς Ἰνδίκτου δ΄. Μετὰ τὴν Εἴσοδον τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς Ἰνδίκτου, τὸ *Χαῖρε Κεχαριτωμένη*, τὸ τοῦ Ὁσίου, καὶ τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, Κοντάκιον τῆς Ἰνδίκτου, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Ἰνδίκτου. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν τῆς Ἰνδίκτου, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Εἰ τύχοι τῆς Ἰνδίκτου ἐν Σαββάτῳ, τῇ ἐλευσομένῃ Κυριακῇ ἤτοι τῇ ζ΄ τοῦ μηνὸς Ἀπόστολος καὶ Εὐαγγέλιον λέγονται τὰ τῆς Κυριακῆς πρὸ τῆς Ὑψώσεως.

Τῇ Θ΄.—Τὸ ἐν Χώναις θαῦμα τοῦ Ἀρχιστρατήγου Μιχαήλ.

1. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Ἀναστάσιμα ς΄ καὶ τοῦ Ἀρχαγγέλου δ΄. Δόξα *Συγχάρητε ἡμῖν*, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου· Εἴσοδος *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν *Ὡς ταξιάρχης καὶ πρόμαχος*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τοῦ Ἀρχαγγέλου, Θεοτοκίον καὶ Ἀπόλυσις.

2. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη Ἀκολουθίαν, τῆς Κυριακῆς οἱ Κανόνες ἀμφότεροι, αἱ Καταβασίαι *Σταυρὸν χαράξας*, καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, *Τὴν τιμιωτέραν*, τὸ ἀναστάσιμον Ἐξαποστειλάριον, τοῦ Ἀρχαγγέλου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ΄ καὶ τοῦ Ἀρχαγγέλου δ΄, Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. *Σήμερον σωτηρία* καὶ καθεξῆς ἡ Λειτουργία, Ἀπόστολος καὶ

Εὐαγγέλιον τῆς Κυριακῆς, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ Ζ'.—Τὰ Προεόρτια τῆς Γεννήσεως τῆς Ὑπεραγίας Θεοτόκου, καὶ τοῦ ἁγίου Μάρτυρος Σώζοντος.

1. Ἂν τύχωσι τὰ Προεόρτια ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ ς' καὶ Προεόρτια δ', Δόξα *Τὴν πάνσεπτόν σου Γέννησιν*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν *Ἡ παγκόσμιος χαρὰ*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον καὶ τὸ Προεόρτιον *Ἐκ τῆς ῥίζης Ἰεσσαὶ*, καὶ Ἀπόλυσις.

(Σημ. Ἡ δὲ Ἀκολουθία τοῦ Ἁγίου ψάλλεται ἐν τοῖς Ἀποδείπνοις· εἶπου δὲ ἑορτάζεται ὁ Ἅγιος, εἰς τὸ *Κύριε ἐκέκραξα* Ἀναστάσιμα δ', Προεόρτια γ' καὶ τοῦ Ἁγίου γ'. Εἰς τὰ Ἀπόστιχα Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τὸ Προεόρτιον, λέγεται δὲ καὶ τὸ τοῦ Ἁγίου Ἀπολυτίκιον).

2. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν' ψαλμὸν ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Προεόρτιον Ἀπολυτίκιον καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ ἀναστάσιμον Ἀπολυτίκιον δὶς, καὶ τὸ Προεόρτιον ἅπαξ, τὸ Ψαλτήριον καὶ ὁ Ἅμωμος, Καθίσματα εἰς τὴν α' Στιχολογίαν Ἀναστάσιμα β', καὶ τὸ Προεόρτιον *Τεχθεῖσα παραδόξως*, εἰς τὴν β' Στιχολογίαν αὖθις Ἀναστάσιμα β', καὶ τὸ Προεόρτιον *Τὰ οὐράνια πάντα*, εἶτα τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου, καὶ τὸ Προκείμενον· Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ Προεόρτιος οὗ ὁ Στίχος *Ὑπεραγία Θεοτόκε*, ἀπὸ γ' Ὠδῆς Κάθισμα *Ἀγαλλιάσθω οὐρανὸς ἅπας*· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας, αἱ Καταβασίαι *Σταυρὸν χαράξας* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα Στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον καὶ τὸ Προεόρτιον *Ἀγάλλου κτίσις ἅπασα*. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ' καὶ Προεόρτια δ' *Δεῦτε οἱ ἐξ*

Ἀδὰμ, Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. καὶ τὸ *Σήμερον σωτηρία*.

3. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ δ' ἐκ τῆς ς' Ὠδῆς τοῦ προεορτίου Κανόνος· μετὰ τὴν Εἴσοδον τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ Προεόρτιον καὶ τὸ τοῦ ἁγίου τοῦ Ναοῦ, Κοντάκιον Προεόρτιον *Ἡ Παρθένος σήμερον καὶ Θεοτόκος Μαρία* (ζήτει ἀφ' ς' Ὠδῆς). Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς πρὸ τῆς Ὑψώσεως· εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ Η'.—Τὸ Γενέσιον τῆς Ὑπεραγίας ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

4. Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὴν Α' Στάσιν τοῦ Ψαλτηρίου, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὰ Ἰδιόμελα *Σήμερον ὁ τοῖς νοεροῖς θρόνοις* εἰς ς', Δόξα Καὶ νῦν τὸ αὐτὸ, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα τὰ γ' Ἰδιόμελα *Ἡ παγκόσμιος χαρὰ* κτλ. Δόξα Καὶ νῦν *Δεῦτε ἅπαντες πιστοὶ*, τὸ Ἀπολυτίκιον *Ἡ γέννησίς σου Θεοτόκε* ἐκ τρίτου καὶ Ἀπόλυσις.

5. Εἰς τὸν Ὄρθρον μετὰ τὸ *Εὐλογητὸς ὁ Θεὸς* τὸ Τρισάγιον καὶ τὸν Ν' ψαλμὸν, ψάλλεται ἡ Λιτὴ, εἶτα τὸ Τρισάγιον αὖθις, τὸ Ἀπολυτίκιον καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ Ἀπολυτίκιον ἐκ τρίτου, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος *Ἐξηρεύξατο ἡ καρδία μου*, τὰ Καθίσματα κατὰ σειρὰν ἐκ δευτέρου, οἱ Ἀναβαθμοὶ, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον *Μνησθήσομαι τοῦ ὀνόματός σου, Πᾶσα πνοὴ*, καὶ Εὐαγγέλιον *Ἀναστᾶσα Μαριὰμ*· ὁ Ν' χῦμα, Δόξα *Ταῖς τῆς Θεοτόκου*, Καὶ νῦν τὸ αὐτὸ, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς*, καὶ τὸ Ἰδιόμελον *Αὕτη ἡμέρα Κυρίου*· οἱ Κανόνες ἀμφότεροι μετὰ στίχου *Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς*· ἀπὸ γ' Ὠδῆς ἡ Ὑπακοὴ *Πύλην κεκλεισμένην*· ἀφ' ς' τὸ Κοντάκιον, ὁ Οἶκος καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Σταυρὸν χαράξας*, καὶ ψάλλεται ἡ Θ' Ὠδὴ, ἡ Καταβασία *Μυστικὸς εἶ Θεοτόκε*· εἶτα τὰ δ' Ἐξαποστειλάρια. Εἰς τοὺς Αἴνους τὰ Προσόμοια εἰς δ', Δόξα Καὶ νῦν *Αὕτη ἡμέρα Κυρίου*· Δοξολογία Μ. καὶ τὸ Ἀπολυτίκιον.

6. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα·

Ἀντίφωνον α'.

Μνήσθητι Κύριε τοῦ Δαβὶδ καὶ πάσης τῆς πραότητος αὐτοῦ.
Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθά, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ.
Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ.
Ὁ Θεὸς ἐν μέσῳ αὐτῆς καὶ οὐ σαλευθήσεται.

} *Ταῖς πρεσβείαις τῆς Θεοτόκου* κτλ.

Ἀντίφωνον β'.

Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν.
Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.
Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου.
Ὅτι ἐξελέξατο Κύριος τὴν Σιὼν, ἡρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.

} *Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστὸς* κτλ.

Ἀντίφωνον γ'.

Ὧδε κατοικήσω, ὅτι ἡρετισάμην αὐτήν.
Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.
Ἅγιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

} *Ἡ γέννησίς σου Θεοτόκε* κτλ.

Εἰς τὴν Εἴσοδον *Δεῦτε προσκυνήσωμεν . . . ὁ ἐν Ἁγίοις θαυμαστός*· τὸ Ἀπολυτίκιον *Ἡ γέννησίς σου Θεοτόκε*· καὶ τὸ Κοντάκιον *Ἰωακεὶμ καὶ Ἄννα*· ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον. Εἰς τὸ Ἐξαιρέτως *Ἀλλότριον τῶν Μητέρων ἡ παρθενία*· Κοινωνικὸν *Ποτήριον σωτηρίου, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

7. Εἰ τύχοι ἡ ἑορτὴ ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἐν τῷ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ' καὶ τῆς ἑορτῆς ς',

Δόξα Καὶ νῦν *Σήμερον ὁ τοῖς νοεροῖς θρόνοις*· Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τῆς ἑορτῆς. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν *Δεῦτε ἅπαντες πιστοὶ*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς δὶς, καὶ Ἀπόλυσις.

8. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν' ψαλμὸν ὁ Τριαδικὸς κανών, ἡ Λιτὴ τῆς ἑορτῆς καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος *Ἐξηρεύξατο ἡ καρδία μου*, εἰς τὴν α' Στιχολογίαν Καθίσματα Ἀναστάσιμα β' καὶ τῆς ἑορτῆς *Ἀναβόησον Δαβὶδ*, εἰς τὴν β' ὡσαύτως Ἀναστάσιμα β' καὶ τὸ τῆς ἑορτῆς *Ἐκ τῆς ῥίζης Ἰεσσαὶ*, τὸ δὲ γ' Κάθισμα ἐκ δευτέρου, καὶ εὐθὺς ἡ Αἴτησις, ἡ Ὑπακοὴ καὶ οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον τῆς ἑορτῆς *Μνησθήσομαι τοῦ ὀνόματός σου*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον *Ἀναστᾶσα Μαριὰμ*, τὸ *Ἀνάστασιν Χριστοῦ θεασάμενοι* καὶ ὁ Ν' χῦμα, Δόξα *Ταῖς τῆς Θεοτόκου*, Καὶ νῦν τὸ αὐτὸ, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Ἡ παγκόσμιος χαρὰ*, Κανόνες ὁ Ἀναστάσιμος καὶ οἱ τῆς ἑορτῆς μετὰ στίχου *Ὑπεραγία Θεοτόκε*· ἀπὸ γ' Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου χῦμα, εἶτα τὸ Κάθισμα τῆς ἑορτῆς *Ἡ Παρθένος Μαριὰμ*, ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τῆς ἑορτῆς καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Σταυρὸν χαράξας* καὶ ψάλλονται αἱ δύο τῆς Θ' Ὠδαὶ τῆς ἑορτῆς μετὰ τοῦ στίχου *Ὑπεραγία Θεοτόκε*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον καὶ τὰ δύο τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ τῆς ἑορτῆς δ', Δόξα *Αὕτη ἡμέρα Κυρίου*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. καὶ τὸ *Σήμερον σωτηρία*.

9. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα τῆς ἑορτῆς μετὰ τοῦ *Ὁ ἀναστὰς ἐκ νεκρῶν*. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς καὶ τὸ Κοντάκιον *Ἰωακεὶμ καὶ Ἄννα*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς πρὸ τῆς Ὑψώσεως· εἰς τὸ Ἐξαιρέτως *Ἀλλότριον τῶν μητέρων ἡ παρθενία*, Κοινωνικὸν *Ποτήριον σωτηρίου, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ Θ'.—Τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης.

10. Εἰ τύχοι ἡ μνήμη τῶν Ἁγίων ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία αὐτῶν ψάλλεται ὡς ἐστι διατεταγμένη ἐν τῷ Μηναίῳ μετὰ τῶν μεθεόρτων.

Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Ἀναστάσιμα Στιχηρὰ ς' καὶ τῶν Ἁγίων *Δεῦτε πᾶν χορεύσωμεν* δ'. Δόξα *Ὦ μακαρία δυὰς*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρά, Δόξα Καὶ νῦν *Οἱ ἐξ ἀκάρπων λαγόνων*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τὸ τῶν Ἁγίων, *Ἡ γέννησίς σου Θεοτόκε* καὶ Ἀπόλυσις.

11. Τῇ Κυριακῇ μετὰ τὸν Ν' ὁ Τριαδικὸς Κανὼν καὶ τὰ *Ἄξιόν ἐστιν*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς, καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῶν Ἁγίων καὶ τὸ τῆς ἑορτῆς, τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα καὶ τὰ τῆς ἑορτῆς ἀντὶ Θεοτοκίων, τὰ Εὐλογητάρια, ἡ Ὑπακοή, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τῶν Ἁγίων, ἀπὸ γ' Ὠδῆς Κάθισμα τῶν Ἁγίων *Ἰωακεὶμ καὶ ἡ Ἄννα παρηγυρίζουσιν· ἀφ' ς'* Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων, αἱ Καταβασίαι *Σταυρὸν χαράξας* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον καὶ τὸ τῆς ἑορτῆς *Ἀδὰμ ἀνακαινίσθητι*. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ μεθέορτα δ' *Χάρις τῷ Λυτρωτῇ*, Δόξα τὸ Ἑωθινόν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. καὶ τὸ *Σήμερον σωτηρία*.

12. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τῶν Ἁγίων δ'. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς, τῶν Ἁγίων, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Ἰωακεὶμ καὶ Ἄννα*· Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς πρὸ τῆς Ὑψώσεως. Εἰς τὸ

Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

13. Κυριακῇ μετὰ τὴν ἑορτήν· τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ ς' καὶ μεθέορτα τῆς σειρᾶς δ'. Δόξα τὸ τῆς Λιτῆς τῆς ἑορτῆς, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρά, Δόξα Καὶ νῦν ἐκ τῶν τῆς ἑορτῆς, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τὸ τῆς ἑορτῆς ἅπαξ, καὶ Ἀπόλυσις.

14. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν' ψαλμὸν ὁ Τριαδικὸς κανὼν καὶ τὸ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ ἀναστάσιμον Ἀπολυτίκιον δὶς, καὶ τὸ τῆς ἑορτῆς ἅπαξ· τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος· Καθίσματα εἰς τὴν α' καὶ δ' στιχολογοῦμεν ἀνὰ β' Ἀναστάσιμα καὶ ἀνὰ α' τῆς ἑορτῆς, τὰ Εὐλογητάρια, ἡ Ὑπακοή, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τῆς ἑορτῆς· ἀπὸ γ' Ὠδῆς Κάθισμα μεθέορτον, ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας, αἱ Καταβασίαι *Σταυρὸν χαράξας* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον καὶ τὸ μεθέορτον. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ μεθέορτα δ', Δόξα τὸ Ἑωθινόν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. *Σήμερον σωτηρία* καὶ καθεξῆς ἡ Λειτουργία μετὰ τῶν Τυπικῶν καὶ Μακαρισμῶν (ἐν οἷς δ' ἐκ τοῦ ἤχου καὶ δ' ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τῆς ἑορτῆς), ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τῆς Κυριακῆς πρὸ τῆς Ὑψώσεως, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ ΙΒ'.—Ἡ Ἀπόδοσις τῆς ἑορτῆς.

15. Εἰ τύχοι ἡ Ἀπόδοσις ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία ψάλλεται ὡς ἐν τῇ ἰδίᾳ τῆς ἑορτῆς ἡμέρᾳ, ἐξαιρουμένων ἐν μὲν τῷ Ἑσπερινῷ τοῦ Ψαλτηρίου καὶ τῶν Ἀναγνωσμάτων, ἐν δὲ τῷ Ὄρθρῳ τῆς Λιτῆς, τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου καὶ τοῦ Πολυελέου· ἐν τῇ Λειτουργίᾳ λέγεται Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς ἡμέρας.

16. Εἰ τύχοι ἡ Ἀπόδοσις ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ΄ καὶ τῆς ἑορτῆς ς΄· Δόξα τῆς ἑορτῆς, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου, Εἴτοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον, εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν τὸ τῶν Ἀποστίχων τῆς ἑορτῆς, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τὸ τῆς ἑορτῆς δὶς καὶ Ἀπόλυσις.

17. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον τῆς ἡμέρας καὶ ὁ Ἄμωμος. Καθίσματα εἰς τὴν α΄ καὶ β΄ Στιχολογίαν ἀνὰ δύο Ἀναστάσιμα, καὶ ἀνὰ ἓν τῆς ἑορτῆς, εἶτα τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος, καὶ οἱ τῆς ἑορτῆς· ἀπὸ γ΄ Ὠδῆς τὸ Κάθισμα *Ἡ Παρθένος Μαριὰμ ἅπαξ*, ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα, καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας, αἱ Καταβασίαι *Σταυρὸν χαράξας* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, καὶ μετ' αὐτὴν ψάλλεται ἡ Θ΄ τῆς ἑορτῆς. Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ΄ καὶ τῆς ἑορτῆς δ΄. Δόξα *Αὕτη ἡμέρα Κυρίου*, Καὶ νῦν *Ὑπερευλογημένη*· Δοξολογία Μεγάλη, *Σήμερον σωτηρία*, καὶ καθεξῆς ἡ Λειτουργία μετὰ τῶν Ἀντιφώνων ὡς ἐν τῇ ἰδίᾳ ἡμέρᾳ τῆς ἑορτῆς, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τῆς Κυριακῆς πρὸ τῆς Ὑψώσεως. Εἰς τὸ Ἐξαιρέτως *Ἀλλότριον τῶν μητέρων*· Κοινωνικὸν *Ποτήριον σωτηρίου*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Σημειωτέον ὅτι, ὅταν τύχῃ ἡ Ἀπόδοσις ἐν Σαββάτῳ, Ἀπόστολος καὶ Εὐαγγέλιον λέγονται τοῦ Σαββάτου πρὸ τῆς Ὑψώσεως.

Τῇ ΙΓ΄.—Μνήμη τῶν Ἐγκαινίων, καὶ Προεόρτια τοῦ Τιμίου Σταυροῦ, καὶ τοῦ ἁγίου Μάρτυρος Κορνηλίου.

1. Εἰ τύχοι ἡ μνήμη τῶν Ἐγκαινίων ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ, πλὴν Κυριακῆς, ἡ Ἀκολουθία ψάλλεται μετὰ τῶν Προεορτίων τοῦ Σταυροῦ, ὡς ἐστι διατεταγμένη ἐν τῷ Μηναίῳ.

2. Ἂν τύχωσι τὰ Ἐγκαίνια ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ΄, τῶν Ἐγκαινίων γ΄ καὶ Προεόρτια τοῦ Σταυροῦ γ΄ τὰ ἐν τῷ μικρῷ Ἑσπερινῷ *Ὑψουμένου σου Δέσποτα*· Δόξα *Τὴν μνήμην τῶν Ἐγκαινίων*· Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου. Εἴτοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον, καὶ τὰ Ἀναγνώσματα τῶν Ἐγκαινίων. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν *Σύ μου σκέπη κραταιὰ*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τῶν Ἐγκαινίων, τὸ Προεόρτιον *Τὸν ζωοποιὸν Σταυρὸν* καὶ Ἀπόλυσις.

3. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν, τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ὡς τοῦ ἄρω στερεώματος* καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα καὶ τὰ τῶν Ἐγκαινίων ἀντὶ Θεοτοκίων· τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος, ὁ τοῦ Σταυροῦ καὶ ὁ τῶν Ἐγκαινίων· ἀπὸ γ΄ Ὠδῆς Κάθισμα τῶν Ἐγκαινίων *Ἐν πίστει τὰ Ἐγκαίνια ἅπαξ*, ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος, τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας, αἱ Καταβασίαι *Σταυρὸν χαράξας* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, εἶτα *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τῶν Ἐγκαινίων *Μέσον τῆς γῆς ὁ Κύριος* καὶ *Μετ' εὐφροσύνης κράξωμεν*. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ΄ καὶ τῶν Ἐγκαινίων δ΄ *Σήμερον ὁ ἔρθεος*, οἱ Στίχοι ὁ α΄ *Κύριε ἠγάπησα εὐπρέπειαν Οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου*· ὁ β΄ *Σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιὼν, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἰερουσαλήμ*· Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν Ὑπερευλογημένη, Δοξολογία Μ. καὶ τὸ *Σήμερον σωτηρία*.

4. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ δ΄ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Κανόνος τῶν Ἐγκαινίων, μετὰ τὴν Εἴτοδον τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ Προεόρτιον *Τὸν ζωοποιὸν Σταυρὸν τῆς σῆς ἀγαθότητος*, τῶν Ἐγκαινίων *Ὡς τοῦ ἄρω στερεώματος*, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Οὐράνιος πολύφωτος ἡ Ἐκκλησία*. Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς πρὸ τῆς Ὑψώσεως. Εἰς τὸ Ἐξαι-

ρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Ὅταν δὲ συμπέσῃ ἡ μνήμη τῶν Ἐγκαινίων ἐν Σαββάτῳ Ἀποστολος λέγεται τοῦ Σαββάτου πρὸ τῆς Ὑψώσεως, καὶ Εὐαγγέλιον τῶν Ἐγκαινίων, Κοινωνικὸν *Κύριε ἠγάπησα εὐπρέπειαν Οἴκου σου.*

Τῇ ΙΔ'.—Ἡ παγκόσμιος Ὕψωσις τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ.

(**Σημείωσις.** Ἰστέον ὅτι, κατὰ τὴν μεγάλην ταύτην ἡμέραν τῆς Ὑψώσεως ἀνεπαύσατο ἐν Κυρίῳ ὁ ἐν ἁγίοις πατὴρ ἡμῶν Ἰωάννης ὁ Χρυσόστομος, οὐ ψάλλεται δὲ ἡ Ἀκολουθία αὐτοῦ ἐν τῇ ἡμέρᾳ τῆς Ὑψώσεως, μετατεθείσης τῆς μνήμης αὐτοῦ τῇ ιγ' τοῦ Νοεμβρίου ἵνα μείνωτι τὰ τῆς Ἀκολουθίας αὐτοῦ ἀνελλιπῆ καὶ ἀμείωτα).

5. Εἰ τύχοι ἡ Ὕψωσις ἐν ἡμέρᾳ Κυριακῇ, οὐδὲν τῶν Ἀναστασίμων ψάλλομεν, ἀλλ' ἅπαντα τὰ τῆς ἑορτῆς.

Ἐν τῷ Μ. Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὰ γ' Προσόμοια *Σταυρὸς ἀνυψούμενος* εἰς ς', Δόξα Καὶ νῦν *Δεῦτε ἅπαντα τὰ ἔθνη*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ Προσόμοια *Χαίροις ὁ ζωηφόρος Σταυρός·* οἱ Στίχοι *Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ·* ἕτερος, *Ὁ δὲ Θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰώνων εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς·* Δόξα Καὶ νῦν *Ὅπερ πάλαι Μωϋσῆς*, τὸ Ἀπολυτίκιον *Σῶσον Κύριε τὸν λαόν σου* ἐκ τρίτου, καὶ Ἀπόλυσις.

6. Εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν' ψαλμὸν ἡ Λιτὴ, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ Ἀπολυτίκιον ἐκ τρίτου, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος· τὰ Καθίσματα κατὰ σειρὰν ἐκ δευτέρου, οἱ Ἀναβαθμοὶ, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου, τὸ Προκείμενον *Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν· Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον, τὸ *Ἀνάστασιν Χριστοῦ* (ὅπερ λέγεται εἰς οἱανδήποτε ἡμέραν τύχῃ ἡ Ὕψωσις τοῦ Σταυροῦ) καὶ ὁ Ν' ψαλμὸς χῦμα, Δόξα *Σύ μου σκέπτη*

κραταιὰ ὑπάρχεις· Καὶ νῦν τὸ αὐτὸ, Στίχος *Ἐλέησόν με ὁ Θεὸς*, καὶ τὸ Ἰδιόμελον *Σταυρὲ τοῦ Χριστοῦ*, ὁ Κανὼν εἰς ἓξ ἄνευ Στίχων, ἐκτὸς τοῦ Δόξα Καὶ νῦν· ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα ἅπαξ, ἀφ' ς' τὸ Κοντάκιον, ὁ Οἶκος καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Σταυρὸν χαράξας*, εἶτα ψάλλονται τῆς Θ' καὶ αἱ δύο Ὠδαὶ, καὶ αἱ δύο Καταβασίαι *Μυστικὸς εἶ Θεοτόκε*, καὶ *Ὁ διὰ βρώσεως τοῦ ξύλου*, τὸ α' Ἐξαποστειλάριον δὶς καὶ τὸ ϐ' ἅπαξ. Εἰς τοὺς Αἴνους τὰ Προσόμοια *Ὦ τοῦ παραδόξου θαύματος* εἰς δ' (εἰς τὸ *Αἰνεῖτε* ὁ Πατριάρχης ἢ ὁ Ἀρχιερεὺς οὐ προσκυνεῖ ὡς συνήθως, διότι μετ' ὀλίγον μέλλει προσκυνῆσαι τὸν τίμιον Σταυρόν). Δόξα Καὶ νῦν *Σήμερον προέρχεται*, Δοξολογία Μεγάλη εἰς ἦχον δ', εἰς δὲ τὸ Ἀσματικὸν *Ἅγιος ὁ Θεὸς* γίνεται ἡ Εἴσοδος τοῦ Τιμίου Σταυροῦ κατὰ τὴν ἐξῆς διάταξιν. Ὁ ἱερουργῶν Ἱερεὺς στὰς ἐνώπιον τῆς ἁγίας Τραπέζης καὶ θυμιάσας τὸν τίμιον Σταυρὸν κείμενον ἐπὶ ταύτης ἐν δίσκῳ μετὰ κλάδων βασιλικοῦ καὶ τριῶν κηρίων, αἴρει τὸν δίσκον καὶ τίθησιν αὐτὸν ἐπὶ τῆς κεφαλῆς· στραφεὶς δὲ περὶ τὴν ἁγίαν Τράπεζαν ἐκ δεξιῶν πρὸς τὰ ἀριστερὰ, τῶν Ἱεροδιακόνων θυμιώντων καὶ τῶν Λαμπάδων, τῶν Ἑξαπτερύγων, καὶ τῶν Ψαλτῶν προπορευομένων, καὶ μετὰ τούτους τοῦ Πριμικηρίου φέροντος τὸ Διβάμβουλον, τῶν Ψαλτῶν δὲ ψαλλόντων τὸ *Ἅγιος ὁ Θεὸς*, φέρει τὸν Σταυρὸν ἐν τῷ μέσῳ τοῦ Ναοῦ ἔνθα ἵσταται τὸ Τετραπόδιον ἠὐτρεπισμένον, καὶ κύκλῳ αὐτοῦ περιελθὼν τρὶς ἵσταται, καὶ βλέπων πρὸς Ἀνατολὰς, κρατῶν δὲ εἰς χεῖρας τὸν δίσκον ἐκφωνεῖ *Σοφία*, ὀρθοὶ, καὶ τίθησιν αὐτὸν ἐπὶ τοῦ Τετραποδίου· εἶτα θυμιάζων κύκλῳ αὐτοῦ σταυροειδῶς, ψάλλει τὸ *Σῶσον Κύριε* ἅπαξ, τὸ αὐτὸ καὶ οἱ δύο Χοροὶ ἀνὰ μίαν· μετὰ ταῦτα βαλὼν μετανοίας τρεῖς (ἐν οἵᾳ ἂν ἡμέρᾳ τύχῃ), καὶ λαβὼν ἀνὰ χεῖρας τὸν τίμιον Σταυρὸν μετὰ κλάδων βασιλικοῦ καὶ βλέπων πρὸς Ἀνατολὰς ὑψοῖ αὐτὸν καὶ λέγει μεγαλοφώνως· *Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον*, καὶ ἄρχονται οἱ Χοροὶ τῆς α' ἑκατονταδος τοῦ *Κύριε ἐλέησον*, τοῦ Ἱερέως σφραγίζοντος ἐν ταῖς ἐνάρξεσι μετὰ τοῦ τιμίου Σταυροῦ τρὶς καὶ κλίνοντος τὴν κεφαλὴν ἡρέμα, ὅσον σπιθαμὴν ἀπέχειν ἀπὸ τῆς γῆς· ἀνίστανται δὲ αὖθις κατὰ μικρὸν ἄχρι τῆς συμπληρώσεως τῆς α' ἑκατονταδος· εἶτα στραφεὶς πρὸς τὰ δεξιὰ καὶ βλέπων πρὸς Βορρᾶν λέγει *Ἔτι δεόμεθα ὑπὲρ*

τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, καὶ οἱ Χοροὶ ἄρχονται τῆς ϛ' ἑκατοντάδος, ὁ δὲ Ἱερεὺς ποιεῖ τὴν ϛ' ὕψωσιν ὡς προδιεγράφη· εἶθ' οὕτως στραφεὶς πρὸς Δυσμάς, λέγει· Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν. . . καὶ οἱ Χοροὶ ἄρχονται τῆς γ' ἑκατοντάδος· πληρουμένης δὲ ταύτης, ὁ Ἱερεὺς στρέφεται πρὸς τὸ Νότιον μέρος καὶ λέγει· Ἔτι δεόμεθα ὑπὲρ τῶν ἐνδημούντων ἁγίων Ἀρχιερέων καὶ τῶν ἀποδημούντων ἐν ταῖς ἐπαρχίαις αὐτῶν, καὶ γίνεται ἡ δ' ὕψωσις· καὶ αὖθις ὁ Ἱερεὺς στραφεὶς πρὸς Ἀνατολάς, λέγει· Ἔτι δεόμεθα ὑπὲρ τῶν διακονούντων καὶ διακονησάντων ἐν τῇ ἁγίᾳ ταύτῃ τοῦ Χριστοῦ Μεγάλῃ Ἐκκλησίᾳ καὶ ὑπὲρ πάσης ψυχῆς χριστιανῶν ὀρθοδόξων, ὑγείας τε καὶ σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν, καὶ οἱ Χοροὶ ἄρχονται τῆς ε' ἑκατοντάδος· εἶτα τίθησιν ὁ Ἱερεὺς τὸν τίμιον Σταυρὸν ἐπὶ τοῦ δίσκου, καὶ προσελθὼν ὁ Πατριάρχης (ἢ ὁ Ἀρχιερεὺς) καὶ λαβὼν αὐτὸν μετὰ κλάδων βασιλικοῦ, βλέπων πρὸς Ἀνατολάς, ὑψοῖ αὐτὸν ψάλλων τὸ Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως· θεὶς δὲ τὸν Σταυρὸν ἐπὶ τοῦ δίσκου καὶ προσκυνῶν ψάλλει· Τὸν σταυρόν σου προσκυνοῦμεν Δέσποτα, ἅπαξ· τὸ αὐτὸ ψάλλουσι καὶ οἱ Χοροὶ ἀνὰ μίαν· εἶτα ἀσπασάμενος τὸν τίμιον Σταυρὸν εὐλογεῖ τὸν λαὸν καὶ ἀνέρχεται εἰς τὸν θρόνον, τῶν Χορῶν ψαλλόντων τὸ Εἰς πολλὰ ἔτη. Μετὰ τοῦτο προσέρχονται οἱ Ἀρχιερεῖς ἀνὰ δύο κατὰ τάξιν καὶ προσκυνοῦσι τὸν τίμιον Σταυρόν· προσερχόμενοι δὲ λαμβάνουσι παρὰ τοῦ Πατριάρχου τοὺς κλάδους τοῦ βασιλικοῦ ἀσπαζόμενοι τὴν δεξιὰν αὐτοῦ· ὡσαύτως καὶ πάντες οἱ Ἐκκλησιαστικοὶ Ὀφφικιάλοι· ἐν τῷ μεταξὺ τούτῳ, ὁ ϛ' Χορὸς ψάλλει τὸ Ἰδιόμελον Δεῦτε πιστοί, καὶ τούτου πληρωθέντος, ψάλλεται τὸ Ἀπολυτίκιον καὶ ἄρχεται ἡ Λειτουργία.

(Σημ. Ἰστέον ὅτι ἡ τάξις αὕτη τῆς Ὑψώσεως τοῦ Σταυροῦ γίνεται ἐν τῇ Μ. Ἐκκλησίᾳ καὶ ἔνθα ἂν εὑρίσκηται χοροστατῶν Ἀρχιερεύς· ἀπόντος δὲ τοῦ Πατριάρχου ἢ τοῦ Ἀρχιερέως, μόνος ὁ Ἱερεὺς ποιεῖ τὴν Ὕψωσιν, ὡς καὶ ἐν ταῖς λοιπαῖς Ἱεραῖς Ἐκκλησίαις· ἀλλὰ κατὰ τὴν δ' ἑκατοντάδα ὁ Ἱερεὺς λέγει· Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, τῶν Ἐπιτρόπων, ἐροριτῶν καὶ συνδρομητῶν τῆς ἁγίας Ἐκκλησίας

ταύτης σὺν γυναιξὶ καὶ τέκνοις αὐτῶν· κατὰ δὲ τὴν ε' ἑκατοντάδα λέγει, Ἔτι δεόμεθα ὑπὲρ πάσης ψυχῆς Χριστιανῶν Ὀρθοδόξων, ὑγείας τε καὶ σωτηρίας καὶ ἀφέσεως τῶν ἁμαρτιῶν αὐτῶν).

7. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα·

Ἀντίφωνον Α' Ἦχος α'.

Ὁ Θεὸς, ὁ Θεός μου πρόσχες μοι, ἵνα τί ἐγκατέλιπές με;

Μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου.

Ὁ Θεός μου κεκράξομαι ἡμέρας καὶ οὐκ εἰσακούσῃ.

Σὺ δὲ ἐν Ἁγίῳ κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου κτλ.

Ἀντίφωνον Β' Ἦχος β'.

Ἵνα τί ὁ Θεὸς ἀπώσω εἰς τέλος;

Μνήσθητι τῆς συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς.

Ὄρος Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ.

Ὁ δὲ Θεὸς Βασιλεὺς ἡμῶν, πρὸ αἰώνων εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.

Σῶσον ἡμᾶς Υἱὲ . . . ὁ σαρκὶ σταυρωθείς κτλ. (οἵᾳ ἂν ἡμέρᾳ τύχῃ).

Ἀντίφωνον Γ' Ἦχος α'.

Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.

Κύριος ἐν Σιὼν μέγας καὶ ὑψηλός ἐστιν ἐπὶ πάντας τοὺς λαούς.

Ἐξομολογησάσθωσαν τῷ ὀνόματί σου τῷ μεγάλῳ, ὅτι φοβερὸν καὶ ἅγιόν ἐστιν.

Σῶσον Κύριε τὸν λαόν σου κτλ.

Εἰσοδικὸν Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι Ἅγιός ἐστι, Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ σαρκὶ Σταυρωθείς, ψάλλοντάς σοι Ἀλληλούϊα· τὸ Ἀπολυτίκιον Σῶσον Κύριε, τὸ Κοντάκιον Ὁ Υ-

ψωθεὶς, ἀντὶ τοῦ Τρισαγίου *Τὸν Σταυρόν σου προσκυνοῦμεν*, ὁ Ἀπόστολος *Ὁ λόγος ὁ τοῦ Σταυροῦ*, τὸ Εὐαγγέλιον *Συμβούλιον ἐποίησαν οἱ Ἀρχιερεῖς μέχρι τοῦ κλίνας τὴν κεφαλὴν παρέδωκε τὸ πνεῦμα*. Εἰς τὸ Ἐξαρέτως *Μυστικὸς εἰ Θεολήν παρέδωκε τὸ πνεῦμα*. Εἰς τὸ Ἐξαρέτως *Μυστικὸς εἰ Θεοτόκε*, Κοινωνικὸν *Ἐσημειώθη ἐφ' ἡμᾶς*, τὸ Ἀπολυτίκιον *Σῶσον Κύριε*, καὶ Ἀπόλυσις.

Σημειωτέον ὅτι ἐν ᾗ ἂν ἡμέρᾳ τύχῃ ἡ ἑορτὴ τῆς Ὑψώσεως, ἐν τῷ Ἑσπερινῷ τῆς αὐτῆς ἡμέρας, Προκείμενον ψάλλεται τὸ *Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ* μετὰ τῶν Στίχων αὐτοῦ. Προσεπισημειωτέον ὅτι ἐν τῇ πανσέπτῳ ταύτῃ ἑορτῇ, φερούσῃ τὰ ἴσα τῆς ἁγίας καὶ Μ. Παρασκευῆς, τελοῦμεν νηστείαν, μόνον δὲ ἂν συμπέσῃ ἐν Σαββάτῳ ἢ Κυριακῇ γίνεται κατάλυσις οἴνου καὶ ἐλαίου.

8. Σαββάτῳ μετὰ τὴν Ὕψωσιν. Ἐν τῷ Ἑσπερινῷ ψάλλεται ἡ ἐν τῷ Μηναίῳ ἐνδιάτακτος μεθέορτος τοῦ Ἑσπερινοῦ Ἀκολουθία, ἐν δὲ τῷ Ὄρθρῳ λέγονται οἱ Κανόνες τῆς ἑορτῆς καὶ ὁ τοῦ τυχόντος Ἁγίου χῦμα, εἰς τὴν η' Ὠδὴν ψάλλεται ὁ Εἱρμὸς καὶ Στιχολογοῦμεν *Τὴν τιμιωτέραν* μετὰ τὸ Ἐξαποστειλάριον τοῦ τυχόντος Ἁγίου καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, τὰ Ἀπόστιχα τοῦ μικροῦ Ἑσπερινοῦ, ὡς καὶ τὸ Δόξα Καὶ νῦν. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς, μετὰ δὲ τὴν Εἴσοδον *Δεῦτε προσκυνήσωμεν . . . ὁ σαρκὶ σταυρωθεὶς*, Ἀπολυτίκιον καὶ Κοντάκιον τῆς ἑορτῆς. Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Σαββάτου μετὰ τὴν Ὕψωσιν, εἰς τὸ Ἐξαρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Μακάριοι οὓς ἐξελέξω, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

9. Κυριακῇ μετὰ τὴν Ὕψωσιν. Τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ ς' καὶ τῆς ἑορτῆς μεθέρτα δ'. Δόξα τῆς ἑορτῆς μεθέορτον, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν μεθέορτον, Ἀπολυτίκια, τὸ Ἀναστάσιμον τῆς ἑορτῆς ἅπαξ, καὶ Ἀπόλυσις.

10. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ ἀναστάσιμον Ἀπολυτίκιον δὶς, καὶ τὸ τῆς ἑορτῆς ἅπαξ, τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος· τὰ ἀναστάσιμα Καθίσματα καὶ ἀνὰ ἓν τῆς ἑορτῆς ἀντὶ τῶν Θεοτοκίων· τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες, ὁ Ἀναστάσιμος καὶ ὁ τῆς ἑορτῆς· ἀπὸ γ' Ὠδῆς Κάθισμα τοῦ τυχόντος Ἁγίου καὶ μεθέορτον· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας· αἱ Καταβασίαι *Σταυρὸν χαράξας* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, εἶτα Στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, τὸ ἀναστάσιμον Ἐξαποστειλάριον, καὶ μεθέορτον. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ μεθέορτα δ', Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

11. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ δ' ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τῆς ἑορτῆς· μετὰ τὴν Εἴσοδον τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῆς ἑορτῆς, τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ τὸ Κοντάκιον *Ὁ Ὑψωθείς*. Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς μετὰ τὴν Ὕψωσιν. Εἰς τὸ Ἐξαρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ Ις'.—Τῆς ἁγίας ἐνδόξου Μεγαλομάρτυρος καὶ πανευφήμου Εὐφημίας.

12. Εἰ τύχοι ἡ μνήμη τῆς Ἁγίας ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία ψάλλεται ὡς ἐστι διατεταγμένη ἐν τῷ Μηναίῳ μετὰ τῶν μεθέορτων τοῦ τιμίου Σταυροῦ.

13. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ', μεθέορτα τοῦ Σταυροῦ γ' καὶ τῆς Ἁγίας γ', Δόξα τῆς Ἁγίας *Ἡ διηνθισμένη ταῖς ἀρεταῖς*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τῆς Ἁγίας, Καὶ νῦν μεθέορτον, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τὸ τῆς Ἁγίας, τὸ τῆς ἑορτῆς καὶ Ἀπόλυσις.

14. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα μετὰ τῶν μεθέορτων, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ

Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος, ὁ τῆς ἑορτῆς καὶ ὁ τῆς Ἁγίας· ἀπὸ γ' Ὠδῆς Κάθισμα τῆς Ἁγίας καὶ μεθέορτον, ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας· αἱ Καταβασίαι *Σταυρὸν χαράξας* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, εἶτα Στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τὸ τῆς Ἁγίας καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ τῆς Ἁγίας δ', Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. καὶ τὸ *Σήμερον σωτηρία*.

15. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τῆς Ἁγίας δ', μετὰ τὴν Εἴσοδον τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς, τὸ τῆς Ἁγίας, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ τὸ Κοντάκιον *Ὁ ὑψωθεὶς*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς μετὰ τὴν Ὕψωσιν. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ Κ'.—Τοῦ ἁγίου Μεγαλομάρτυρος Εὐσταθίου καὶ τῶν σὺν αὐτῷ.

16. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας, εἰς τὸ *Κύριε ἐκέκραξα*, ἀναστάσιμα Στιχηρὰ δ', μεθέορτα γ' καὶ τοῦ Ἁγίου γ', Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἰς τὰ Ἀπόστιχα, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν μεθέορτον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Ἁγίου, τὸ τῆς ἑορτῆς, καὶ Ἀπόλυσις. Εἰς τὸν Ὄρθρον τὰ εἰς τὸ *Θεὸς Κύριος* Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, Κανόνες ὁ Ἀναστάσιμος, ὁ τῆς ἑορτῆς καὶ ὁ τοῦ Ἁγίου, ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα τοῦ Ἁγίου, τὸ Ἀναστάσιμον Ἐξαποστειλάριον, τοῦ Ἁγίου, καὶ τὸ τῆς ἑορτῆς. Εἰς τὴν Λειτουργίαν, μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῆς ἑορτῆς, τὸ τοῦ Ἁγίου, καὶ τοῦ Ἁγίου τοῦ ναοῦ. Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς μετὰ τὴν Ὕψωσιν κτλ.

Τῇ ΚΑ'.—Ἡ Ἀπόδοσις τῆς ἑορτῆς τῆς Ὑψώσεως.

17. Τῇ ΚΑ' τοῦ μηνὸς ἀποδίδοται ἡ ἑορτὴ καὶ ψάλλεται ἡ Ἀκολουθία ἀπαραλλάκτως ὡς ἐν τῇ κυρίᾳ τῆς ἑορτῆς ἡμέρᾳ, ἐξαιρουμένων ἐν μὲν τῷ Ἑσπερινῷ τῶν Ἀναγνωσμάτων, ἐν δὲ τῷ Ὄρθρῳ τῆς Λιτῆς, τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου, καὶ τοῦ Πολυελέου· καὶ ἐν τῇ Λειτουργίᾳ Ἀπόστολος καὶ Εὐαγγέλιον λέγονται τὰ τῆς ἡμέρας, Κοινωνικὸν *Ἐσημειώθη*, τὸ Ἀπολυτίκιον *Σῶσον Κύριε*, καὶ Ἀπόλυσις.

18. Εἰ τύχοι ἡ Ἀπόδοσις ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ', τῆς ἑορτῆς ς', Δόξα τῆς ἑορτῆς, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν τῆς ἑορτῆς, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τὸ τῆς ἑορτῆς δὶς καὶ Ἀπόλυσις.

19. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἐξάψαλμος· εἰς τὸ *Θεὸς Κύριος* τὸ ἀναστάσιμον Ἀπολυτίκιον ἅπαξ, καὶ τὸ τῆς ἑορτῆς δίς· τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος· τὰ ἀναστάσιμα Καθίσματα καὶ ἀνὰ ἓν τῆς ἑορτῆς ἀντὶ Θεοτοκίων, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον· Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τῆς ἑορτῆς· ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα τῆς ἑορτῆς ἅπαξ, ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας· αἱ Καταβασίαι *Σταυρὸν χαράξας* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα ψάλλεται ἡ Θ' Ὠδὴ τῆς ἑορτῆς μετὰ τῶν δύο Καταβασιῶν. Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον καὶ τὰ δύο τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ τῆς ἑορτῆς δ'. Δόξα τῆς ἑορτῆς, Καὶ νῦν *Ὑπερευλογημένη* καὶ τὸ *Σήμερον σωτηρία*.

20. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα τῆς ἑορτῆς, εἰς τὸ β' Ἀντίφωνον *Ὁ σαρκὶ σταυρωθεὶς*, εἶτα τὸ Εἰσοδικὸν τῆς ἑορτῆς μετὰ τοῦ *Ὁ ἀναστὰς ἐκ νεκρῶν*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς, τὸ τοῦ ἁγίου τοῦ Ναοῦ καὶ τὸ Κοντάκιον *Ὁ Ὑψωθεὶς ἐν τῷ Σταυρῷ*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς μετὰ τὴν Ὕψωσιν. Εἰς τὸ Ἐξαιρέτως *Ὁ διὰ βρώσεως τοῦ ξύλου*, Κοινωνικὸν *Ἐσημειώθη ἐφ' ἡμᾶς*, τὸ *Σῶσον Κύριε* καὶ Ἀπόλυσις.

Σημειωτέον ὅτι μετὰ τὴν Ἀπόδοσιν τῆς ἑορτῆς τῇ α' Κυριακῇ

ἢ τῇ α' συμπεσούσῃ ἑορτῇ Καταβασίαι ψάλλονται *Ἀνοίξω τὸ στόμα μου* μέχρι τῆς ΚΑ' Νοεμβρίου καὶ Κοντάκιον *Προστασία τῶν Χριστιανῶν* μέχρι τῆς Η' Νοεμβρίου.

Τῇ ΚΓ'.—Ἡ Σύλληψις τοῦ τιμίου Προδρόμου.

1. Εἰ τύχοι ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία ψάλλεται ὥς ἐστι διατεταγμένη ἐν τῷ Μηναίῳ. Εἰς τὸν Ὄρθρον αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου* καὶ Κοντάκιον *Προστασία τῶν χριστιανῶν*.

2. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββ. ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Ἀναστάσιμα ς' καὶ τοῦ Προδρόμου δ', Δόξα τοῦ Προδρόμου, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Προδρόμου, Καὶ νῦν *Ὁ ποιητὴς καὶ λυτρωτής μου*, Ἀπολυτίκια, τὸ Ἀναστάσιμον, τοῦ Προδρόμου *Ἡ πρῴην οὐ τίκτουσα*, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

3. Τῇ Κυρ. εἰς τὸν Ὄρθρον, μετὰ τὴν ἐξ ἔθους Ἀκολουθίαν τῆς Κυριακῆς, οἱ Κανόνες ἀμφότεροι ὅ,τε Ἀναστάσιμος καὶ ὁ τοῦ Προδρόμου, ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα *Θυμιῶντι ἐν Ναῷ*, Καὶ νῦν *Κατεπλάγη Ἰωσὴφ*, ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα, καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου* κτλ. Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον, τὸ τοῦ Προδρόμου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ δ' τοῦ Προδρόμου, Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. *Σήμερον σωτηρία* καὶ καθεξῆς ἡ Λειτουργία, Ἀπόστολος τοῦ Προδρόμου καὶ Εὐαγγέλιον τῆς Κυριακῆς, Κοινωνικὸν *Αἰνεῖτε*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ ΚΔ'.—Μνήμη τοῦ γεγονότος Θαύματος παρὰ τῆς Θεομήτορος ἐν τῇ νήσῳ Κυθήρων, καὶ τῆς ἁγίας πρωτομάρτυρος καὶ Ἰσαποστόλου Θέκλης.

1. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Ἀναστάσιμα δ', τῆς Θεοτόκου γ' καὶ τῆς ἁγίας Θέκλης γ'. Δόξα *Τίς μὴ θαυμάσῃ*; Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τῆς Θεοτόκου. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τῆς Ἁγίας, Καὶ νῦν τῆς Θεοτόκου, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τῆς Ἁγίας καὶ τῆς Θεοτόκου *Λαοὶ νῦν κροτήσωμεν* καὶ Ἀπόλυσις.

2. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ ἡ Λιτὴ τῆς Θεοτόκου, τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς Θεοτόκου καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα καὶ ἀνὰ ἓν τῆς Θεοτόκου, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον, Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τῆς Θεοτόκου, ἀπὸ γ' Ὠδῆς Κάθισμα τῆς Ἁγίας καὶ τῆς Θεοτόκου, ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον· αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, εἶτα Στιχολογοῦμεν *Τὴν τιμιωτέραν*. Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τὸ τῆς Ἁγίας καὶ τῆς Θεοτόκου. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ τῆς Θεοτόκου δ', Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. καὶ τὸ *Σήμερον σωτηρία*.

52. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ δ' ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τῆς Θεοτόκου. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον τῆς Θεοτόκου, τῆς Ἁγίας, τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Προστασία τῶν χριστιανῶν*, Ἀπόστολος τῆς Ἁγίας καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Εἰ τύχοι δὲ ἡ ΚΔ' ἐν ἄλλῃ ἡμέρᾳ, ψάλλεται ἡ Ἀκολουθία τῆς Ἁγίας μετὰ τῆς Ἀκολουθίας τῆς Θεοτόκου, ἥτις καὶ προηγεῖται. Ἡ Ἀκολουθία τῆς Θεοτόκου τετύπωται ἐν ἰδιαιτέρᾳ φυλλάδι.

Ἀπολυτίκιον τῆς ἁγίας Θέκλης συντεθὲν ὑπὸ τοῦ ἀοιδίμου Πατριάρχου Κωνσταντινουπόλεως Κυρίλλου ἐν ἔτει ,αωιγ'.

Ἦχος γ'.

Θείου κήρυκος διδασκαλίας, πόθῳ Κτίστου σου ἀναφλεχθεῖσα, τῶν γεηρῶν ὡς ρεόντων ἠλόγησας καὶ σεαυ-

τὴν ἱερὸν καλλιέρημα τῷ Θεῷ δοῦσα, ποινῶν κατετόλμησας, Θέκλα ἔνδοξε, Παύλου τοῦ θείου συνέκδημε, τὸν σὸν νυμφίον Χριστὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Ἕτερον Ἀπολυτίκιον τῆς Ἁγίας, εὑρεθὲν ὑπὸ τοῦ ἀοιδίμου Πατριάρχου Κωνσταντινουπόλεως Κυροῦ Κωνσταντίου τοῦ Βυζαντίου ἐν μεμβράναις γεγραμμένον, ἐν ἔτει ,αω.ιθ'.

Ἦχος δ'.

Ὡς τῷ Παύλῳ μαθητευθεῖσα Πανεύφημε, καὶ τῇ πίστει στηριχθεῖσα Πέτρου Θεόσοφε, πρωτομάρτυς ἀνεδείχθης καὶ πρώταθλος ἐν γυναιξὶν, ἐπέβης τῇ φλογὶ ὡς ἐν λειμῶνι εὐθαλεῖ, θῆρες καὶ ταῦροι ἔφριξάν σε ὁπλισθεῖσαν τῷ Σταυρῷ, πρέσβευε Χριστῷ τῷ Θεῷ, Ἀποστόλων, Θέκλα, συνέκδημε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Τῇ Κϛ'.—Ἡ μετάστασις τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ἰωάννου τοῦ Θεολόγου.

1. Ἐν τῷ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν καὶ τὴν α' Στάσιν τοῦ Ψαλτηρίου, εἰς τὸ *Κύριε ἐκέκραξα ψάλλομεν* τὰ γ' Προσόμοια *Ὁ θεατὴς τῶν ἀῤῥήτων* εἰς ς'. Δόξα *Τὸν Υἱὸν τῆς βροντῆς*, Καὶ νῦν *Παρῆλθεν ἡ σκιὰ*, Εἴτοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα (καθ' ἃ ἡμεῖς ἱστάμεθα, ὁ δὲ Διάκονος ἐκφωνεῖ *Πρόσχωμεν, Σοφία, Πρόσχωμεν*). Εἰς τὰ Ἀπόστιχα τὰ Προσόμοια, Δόξα *Ἀπόστολε Χριστοῦ*, Καὶ νῦν *Θεοτόκε σὺ εἶ ἡ ἄμπελος*, τὸ Ἀπολυτίκιον *Ἀπόστολε Χριστῷ τῷ Θεῷ*· Καὶ νῦν *Πάντα ὑπὲρ ἔννοιαν*, καὶ Ἀπόλυτις.

2. Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' Ψαλμὸν, ἡ Λιτὴ, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ Ἀπολυτίκιον δὶς, τὸ Θεοτοκίον, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ Καθίσματα κατὰ σειρὰν, οἱ Ἀναβαθμοὶ, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου, τὸ Προκείμενον *Εἰς πᾶσαν τὴν γῆν*, *Πᾶσα*

πνοὴ καὶ τὸ ΙΑ' Ἑωθινὸν Εὐαγγέλιον, ὁ Ν' Ψαλμὸς χῦμα, Δόξα *Ταῖς τοῦ Ἀποστόλου*, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου*, Στίχος *Ἐλέησόν με ὁ Θεὸς*, καὶ τὸ ἰδιόμελον *Θεολόγε Παρθένε*, ὁ Κανὼν τῆς Θεοτόκου καὶ ὁ τοῦ Εὐαγγελιστοῦ· ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα καὶ τὸ Θεοτοκίον, ἀφ' ς' τὸ Κοντάκιον, ὁ Οἶκος καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου*, εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, τὸ Ἐξαποστειλάριον καὶ τὸ Σταυροθεοτοκίον. Εἰς τοὺς Αἴνους τὰ γ' Προσόμοια εἰς δ'. Δόξα *Εὐαγγελιστὰ Ἰωάννη*, Καὶ νῦν *Δέσποινα πρόσδεξαι*, Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον.

3. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ, οἱ Μακαρισμοὶ, Τροπάρια ἐκ τῆς γ' καὶ ς' Ὠδῆς τοῦ Κανόνος τοῦ Εὐαγγελιστοῦ· μετὰ τὴν Εἴσοδον, τὸ Ἀπολυτίκιον τοῦ Εὐαγγελιστοῦ, τοῦ ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Προστασία τῶν Χριστιανῶν*, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Εἰς πᾶσαν τὴν γῆν*, *Εἴδομεν τὸ Φῶς* καὶ Ἀπόλυτις.

4. Εἰ τύχοι ἐν ἡμέρᾳ Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα ψάλλομεν ἀναστάσιμα* Στιχηρὰ δ' καὶ τοῦ Εὐαγγελιστοῦ ς'. Δόξα τοῦ Εὐαγγελιστοῦ, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Εἴτοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Εὐαγγελιστοῦ, Καὶ νῦν *Ὁ ποιητὴς καὶ λυτρωτής μου*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Εὐαγγελιστοῦ, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

5. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς Κανὼν καὶ ἡ Λιτὴ τοῦ Εὐαγγελιστοῦ, τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἀπόστολε Χριστῷ* καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ ἀναστάσιμα Καθίσματα καὶ ἀνὰ ἓν τοῦ Εὐαγγελιστοῦ μετὰ τοῦ Θεοτοκίου, ἐν δὲ τῇ γ' Στιχολογίᾳ τὰ τοῦ Εὐαγγελιστοῦ καὶ τὸ Θεοτοκίον, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες, ὁ Ἀναστάσιμος καὶ ὁ τοῦ Εὐαγγελιστοῦ, ἀπὸ γ' Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου χῦμα, εἶτα τὸ Κάθισμα τοῦ Εὐαγγελιστοῦ καὶ τὸ Θεοτοκίον, ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Εὐαγγελιστοῦ καὶ τὸ Μηνολόγιον·

αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου* καὶ ἅπαντα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τὸ τοῦ Εὐαγγελιστοῦ καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ τοῦ Εὐαγγελιστοῦ δ'. Δόξα *Εὐαγγελιστὰ Ἰωάννη*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

6. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τοῦ Εὐαγγελιστοῦ δ'. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Εὐαγγελιστοῦ, τοῦ ἁγίου τοῦ Ναοῦ καὶ τὸ Κοντάκιον *Προστασία τῶν χριστιανῶν*, Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Εὐαγγελιστοῦ. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Εἰς πᾶσαν τὴν γῆν*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

ΜΗΝ ΟΚΤΩΒΡΙΟΣ

Ἀκολουθία τῶν ἁγίων Πατέρων τῆς Ζ' Οἰκουμενικῆς Συνόδου.

(Σημ. Κατὰ τὴν ια' τοῦ παρόντος μηνὸς, εἰ τύχοι ἐν Κυριακῇ ἢ τῇ πρώτῃ μετ' αὐτὴν ἐρχομένῃ Κυριακῇ, ψάλλεται ἡ Ἀκολουθία *τῶν Ἁγίων Πατέρων τῆς Ζ' Οἰκουμενικῆς Συνόδου*, κατὰ τὴν ἐφεξῆς διάταξιν).

1. Τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ' καὶ τῶν Ἁγίων ς'. Δόξα *Τὰς μυστικὰς σήμερον*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα *Τὴν ἐτήσιον μνήμην σήμερον*, Καὶ νῦν *Νεῦσον παράκλησεσι*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τῶν Ἁγίων, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

2. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν ὁ Τριαδικὸς κανὼν, εἶτα Δόξα τῶν Ἁγίων *Ἀποστολικῶν παραδόσεων*, Καὶ νῦν Θεοτοκίον Προσόμοιον, *Θεοτόκε ἡ προστασία*· καὶ τὰ

Τριαδικὰ *Ἄξιόν ἐστιν*· εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον, *Ὑπερδεδοξασμένος εἶ* καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος. Τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου, καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος, καὶ ὁ τῶν Ἁγίων· ἀπὸ γ' Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου χῦμα, εἶτα τὸ Κάθισμα τῶν Ἁγίων *Φωστῆρες ὑπέρλαμπροι*, Καὶ νῦν *Ταχὺ δέξαι Δέσποινα*. Ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τῶν Πατέρων, τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας καὶ τῶν Πατέρων. Αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελλίου· εἶτα Στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τῶν Ἁγίων, καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ τῶν Ἁγίων δ'. Δόξα *Τῶν Ἁγίων Πατέρων ὁ χορὸς*, Καὶ νῦν *Ὑπερευλογημένη*. Δοξολογία Μ. καὶ τὸ *Σήμερον σωτηρία*.

3. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ', καὶ δ' ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τῶν Ἁγίων. Μετὰ τὴν Εἴσοδον τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῶν Ἁγίων, καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ. Κοντάκιον *Προστασία τῶν Χριστιανῶν*· ὁ Ἀπόστολος *Τέκνον Τίτε, πιστὸς ὁ λόγος*, καὶ τὸ Εὐαγγέλιον *Ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ*· (Κυριακὴ Δ' Λουκᾶ). Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

(Σημ. Ἰστέον ὅτι τρὶς τοῦ ἐνιαυτοῦ μνήμην ἐπιτελοῦμεν τῶν ἁγίων Πατέρων· καὶ τῆς μὲν Α' Συνόδου, κατὰ τὴν Ζ' Κυριακὴν ἀπὸ τοῦ Πάσχα, καὶ ἀναγινώσκεται Εὐαγγέλιον κατὰ Ἰωάννην *Τῷ καιρῷ ἐκείνῳ ἐπάρας ὁ Ἰησοῦς τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τὸν οὐρανόν*. Τῆς δὲ Δ' Συνόδου, τὴν Κυριακὴν ἥτις ἤθελε τύχει ἀπὸ τῆς ΙΓ' μέχρι τῆς ΙΘ' τοῦ Ἰουλίου μηνὸς, καὶ ἀναγινώσκεται Εὐαγγέλιον κατὰ Ματθαῖον *Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· ὑμεῖς ἐστε τὸ φῶς τοῦ κόσμου*. Καὶ τῆς Ζ' Συνόδου, τὴν ἀπὸ τῆς ΙΑ' μέχρι τῆς ΙΖ' Ὀκτωβρίου Κυριακὴν, ὅτε καὶ ἀναγινώσκεται Εὐαγγέλιον τῆς Δ' Κυριακῆς Λουκᾶ *Εἶπεν ὁ Κύριος· ἐξῆλθεν ὁ σπείρων τοῦ σπεῖραι τὸν σπόρον αὐτοῦ*.

Τῇ ΙΗ'.—Τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Λουκᾶ.

1. Εἰ τύχοι ἡ μνήμη τοῦ Εὐαγγελιστοῦ ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία ψάλλεται κατὰ τὴν τοῦ Μηναίου διάταξιν.

2. Εἰ τύχοι ἐν ἡμέρᾳ Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ ς' καὶ τοῦ Εὐαγγελίου δ'. Δόξα *Ἀπόστολε Χριστοῦ*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρά, Δόξα *Πάνσοφε ἁλιεῦ*, Καὶ νῦν *Ὁ ποιητὴς καὶ λυτρωτής μου*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τοῦ Εὐαγγελιστοῦ, τὸ Θεοτοκίον *Σὲ τὴν μεσιτεύσασαν* καὶ Ἀπόλυσις.

3. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ἀποστόλου, καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ ἀναστάσιμος καὶ ὁ τοῦ Ἀποστόλου, ἀπὸ γ' Ὠδῆς τὸ Κοντάκιον τοῦ Ἀποστόλου, εἶτα τὸ Κάθισμα *Ὡς συνέκδημος Παύλου*, καὶ Θεοτοκίον· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου* καὶ ἅπαντα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*. Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον, τοῦ Εὐαγγελιστοῦ καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους ἀναστάσιμα Στιχηρὰ δ' καὶ δ' τοῦ Εὐαγγελιστοῦ, Δόξα τοῦ Εὐαγγελιστοῦ, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη, *Σήμερον σωτηρία* καὶ καθεξῆς ἡ Λειτουργία, ἐν ᾗ ψάλλονται τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ ἐκ τῆς ς' Ὠδῆς τοῦ κανόνος ἄλλα δ', Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Εὐαγγελιστοῦ, Κοινωνικὸν *Εἰς πᾶσαν τὴν γῆν*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ Κ'.—Τοῦ ἁγίου Μεγαλομάρτυρος Ἀρτεμίου, τῆς ὁσίας Ματρώνης τῆς Χιοπολίτιδος, καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν Γερασίμου.

1. Εἰ τύχοι ἡ μνήμη τῶν Ἁγίων ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἐν τῷ Ἑσπερινῷ προηγοῦνται τὰ πρῶτα γ' Στιχηρὰ τοῦ ἁγίου Ἀρτεμίου, εἶτα ὅπου μὲν ἑορτάζεται ἡ ἁγία Ματρῶνα ἔπονται τὰ γ' αὐτῆς Στιχηρὰ, ὅπου δὲ ὁ ἅγιος Γεράσιμος, ἔπονται τὰ τοῦ Ἁγίου τούτου· ἐννοεῖται ὅτι πάντα τὰ Δοξαστικὰ λέγονται ἐκ τοῦ ἑορταζομένου Ἁγίου ἢ τῆς Ἁγίας. Τὰς ἰδιαιτέρας δὲ Ἀκολουθίας αὐτῶν ὅρα εἰς τὰς ἰδιαιτέρας φυλλάδας, καὶ τὴν τοῦ ἁγίου Ἀρτεμίου ἐν τῷ Μηναίῳ.

2. Εἰ τύχοι ἡ μνήμη τῶν Ἁγίων ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ', τοῦ ἁγίου Ἀρτεμίου γ' καὶ τῆς ὁσίας Ματρώνης (ἢ τοῦ ὁσίου Γερασίμου) γ'. Δόξα τῆς Ὁσίας (ἢ τοῦ Ὁσίου), Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τῆς Ὁσίας (ἢ τοῦ Ὁσίου). Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τῆς Ὁσίας (ἢ τοῦ Ὁσίου), Καὶ νῦν Θεοτοκίον ἐκ τῆς Ὀκτωήχου. Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τοῦ ἁγίου Ἀρτεμίου, τῆς Ὁσίας (ἢ τοῦ Ὁσίου), Θεοτοκίον καὶ Ἀπόλυσις.

3. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν, καὶ ἡ Λιτὴ τῆς Ὁσίας (ἢ τοῦ Ὁσίου), τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ ἑορταζομένου Ἁγίου καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος. Τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν καὶ τὸ τῆς γ' Στιχολογίας Κάθισμα τῆς Ὁσίας (ἢ τοῦ Ὁσίου), μετὰ τοῦ Θεοτοκίου. Τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου, καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τῆς Ὁσίας (ἢ τοῦ Ὁσίου). Ἀπὸ γ' Ὠδῆς Κάθισμα τοῦ ἁγίου Ἀρτεμίου, τῆς Ὁσίας (ἢ τοῦ Ὁσίου) καὶ Θεοτοκίον· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα, καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου*,

καὶ ἅπαντα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*. Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τοῦ ἁγίου Ἀρτεμίου, τῆς Ὁσίας (ἢ τοῦ Ὁσίου), καὶ Θεοτοκίον. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ΄ καὶ τῆς Ὁσίας (ἢ τοῦ Ὁσίου) δ΄. Δόξα τὸ Ἑωθινόν, Καὶ νῦν *Ὑπερευλογημένη*· Δοξολογία Μ. καὶ τὸ *Σήμερον σωτηρία*.

4. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ δ΄ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Κανόνος τῆς Ὁσίας (ἢ τοῦ Ὁσίου). Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ ἁγίου Ἀρτεμίου, τὸ τῆς Ὁσίας (ἢ τοῦ Ὁσίου), τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Προστασία τῶν Χριστιανῶν*. Ἀπόστολος τῆς Ὁσίας (ἢ τοῦ Ὁσίου) καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ ΚΓ΄.—Τοῦ ἁγίου Ἀποστόλου Ἰακώβου τοῦ Ἀδελφοθέου.

1. Εἰ τύχοι ἡ μνήμη τοῦ Ἀποστόλου ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία ψάλλεται ὡς ἐστι διατεταγμένη ἐν τῷ Μηναίῳ.

2. Εἰ τύχοι ἐν ἡμέρᾳ Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ ς΄ καὶ τοῦ ἁγίου δ΄. Δόξα *Αἵματι τοῦ μαρτυρίου*, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα *Τοῦ Ἀρχιποίμενος Χριστοῦ*, Καὶ νῦν *Ἀνύμφευτε Παρθένε*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον τοῦ Ἁγίου *Ὡς τοῦ Κυρίου μαθητὴς*, Θεοτοκίον καὶ Ἀπόλυσις.

3. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ἀποστόλου καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια, ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τοῦ Ἁγίου· ἀπὸ γ΄ Ὠδῆς τὸ Κοντάκιον καὶ τὸ Κάθισμα τοῦ Ἁγίου μετὰ τοῦ Θεοτοκίου· ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον, τὸ τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ΄ καὶ τοῦ Ἁγίου δ΄, Δόξα τὸ Ἑωθινόν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

4. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ ἄλλα δ΄ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ κανόνος τοῦ Ἁγίου. Μετὰ τὴν Εἴσοδον τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Ἀποστόλου, τοῦ ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Προστασία τῶν χριστιανῶν*, Ἀπόστολος τοῦ Ἁγίου καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως, *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ ΚΣΤ΄.—Τοῦ ἁγίου Μεγαλομάρτυρος Δημητρίου τοῦ Μυροβλήτου.

1. Ἐν τῷ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν καὶ τὴν α΄ Στάσιν τοῦ Ψαλτηρίου, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὰ κατὰ σειρὰν ς΄ Στιχηρὰ Προσόμοια τοῦ Ἁγίου, Δόξα *Σήμερον συγκαλεῖται ἡμᾶς*, Καὶ νῦν *Παναγία Δέσποινα*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα τὰ Ἰδιόμελα τοῦ Σεισμοῦ, Δόξα *Ἔχει μὲν ἡ θειοτάτη σου ψυχὴ*, Καὶ νῦν *Δέσποινα πρόσδεξαι*, Ἀπολυτίκιον τοῦ Ἁγίου, *Μέγαν εὕρατο* καὶ τοῦ Σεισμοῦ *Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν* ἀντὶ τοῦ Θεοτοκίου, καὶ Ἀπόλυσις.

2. Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν ἡ Λιτὴ τοῦ Ἁγίου· εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου δὶς, Καὶ νῦν *Τὸ τοῦ* Σεισμοῦ, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος. Τὰ Καθίσματα κατὰ σειρὰν, οἱ Ἀναβαθμοὶ, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου, τὸ Προκείμενον *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον, ὁ Ν΄ ψαλμὸς χῦμα, Δόξα *Ταῖς τοῦ Ἀθλοφό-*

ρου, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου*, Στίχος *Ἐλέησόν με ὁ Θεὸς*, καὶ τὸ Ἰδιόμελον *Εἰς τὰ ὑπερκόσμια σκηνώματα* (Ζήτει εἰς τὴν Λιτήν). Κανόνες ὁ τοῦ Σεισμοῦ, οὗ ὁ Στίχος, *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι*, καὶ ὁ τοῦ Ἁγίου *Μερίς μου Δημήτριε*· ἀπὸ γ΄ Ὠδῆς τὸ Κάθισμα τοῦ Ἁγίου, καὶ τὸ τοῦ Σεισμοῦ ἀντὶ Θεοτοκίου. Ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τοῦ Ἁγίου, καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου*, εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάριον τοῦ Ἁγίου, καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, τὰ δ΄ τῶν Αἴνων Προσόμοια *Δεῦρο Μάρτυς Χριστοῦ πρὸς ἡμᾶς*. Δόξα *Τὸν λόγχαις κληρωσάμενον*, Καὶ νῦν *Ῥῦσαι ἡμᾶς ἐκ τῶν ἀναγκῶν ἡμῶν*, Δοξολογία Μ. καὶ τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου.

3. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοί, ἐκ τῆς γ΄ Ὠδῆς τοῦ Κανόνος τοῦ Σεισμοῦ δ΄ καὶ δ΄ ἐκ τῆς ς΄ τοῦ ϐ΄ Κανόνος τοῦ Ἁγίου. Μετὰ τὴν Εἴσοδον τὸ Ἀπολυτίκιον τοῦ Σεισμοῦ, τὸ τοῦ Ἁγίου, τοῦ ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον, *Προστασία τῶν Χριστιανῶν*, Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Ἁγίου. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Εἰς μνημόσυνον*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

4. Εἰ τύχοι ἡ μνήμη τοῦ Ἁγίου ἐν Σαββάτῳ, τῷ αὐτῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ ς΄ καὶ τοῦ ἁγίου Νέστορος δ΄. Δόξα *Σήμερον συγκαλεῖται ἡμᾶς*, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Ἁγίου *Ἔχει μὲν ἡ θειοτάτη σου ψυχὴ*, Καὶ νῦν *Ἀνύμφευτε Παρθένε*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τοῦ Ἁγίου *Μέγα εὔρατο*, τὸ Θεοτοκίον *Σὲ τὴν μεσιτεύσασαν*, καὶ Ἀπόλυσις.

5. Τὸ πρωὶ εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν· οἱ Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ πρῶτος τοῦ ἁγίου Δημητρίου *Τὸν θεῖον τοῦ μαρτυρίου στέφανον*· μετὰ τοὺς Κανόνας ἡ Ἀκολουθία ἅπασα τῆς Κυριακῆς μόνη.

6. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ΄, καὶ τοῦ Ἁγίου ς΄, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου· Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ

τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Παναγία Δέσποινα*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τὸ τοῦ Ἁγίου, τὸ τοῦ Σεισμοῦ ἀντὶ Θεοτοκίου καὶ Ἀπόλυσις.

7. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν ὁ Τριαδικὸς κανών, ἡ Λιτὴ τοῦ Ἁγίου καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*· εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ Καθίσματα, ἓν Ἀναστάσιμον καὶ ἓν τοῦ Ἁγίου μετὰ τοῦ Θεοτοκίου ἐν τῇ α΄ καὶ ϐ΄ στιχολογίᾳ, ἐν δὲ τῇ γ΄ τὰ τοῦ Ἁγίου, τὰ Εὐλογητάρια, ἡ Ὑπακοή, οἱ Ἀναϐαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος, ὁ τοῦ Σεισμοῦ καὶ ὁ τοῦ Ἁγίου· ἀπὸ γ΄ Ὠδῆς τὰ ἀναστάσιμα Κοντάκιον καὶ Οἶκος χῦμα, εἶτα τὸ Κάθισμα τοῦ Ἁγίου καὶ τὸ τοῦ Σεισμοῦ *Τῆς ἐπελθούσης σου ὀργῆς ἀφορήτου*, ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τὰ τοῦ Ἁγίου καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου*, καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον, τὸ τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους ἀναστάσιμα Στιχηρὰ δ΄, καὶ τοῦ Ἁγίου δ΄, Δόξα τοῦ Ἁγίου *Τὸν λόγχαις κληρωσάμενον*[1], Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

8. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ δ΄ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Κανόνος τοῦ Ἁγίου. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Σεισμοῦ, τὸ

---

1. *Ἐν τῷ κατὰ τὸ ,αωια΄ ἐκδεδομένῳ Τυπικῷ τοῦ Κωνσταντίνου, φαίνεται ἐνταῦθα σημείωσις διορθοῦσα τὴν περὶ τὸ τέλος τοῦ Δοξαστικοῦ τούτου περίοδον* «τὸν ἐν πολλοῖς καὶ πολλάκις κινδύνοις χαλεποῖς τῶν Θεσσαλονικέων προϊστάμενον» *ὧδε* «τὸν ἐν πολλοῖς καὶ... χαλεποῖς πᾶσι τοῖς εὐσεβέσι προϊστάμενον»· *ἀλλ΄ ἐπειδὴ οὔτε εὐοδοῦται γραμματικῶς αὕτη ἡ διόρθωσις, οὔτε ἐπιδοκιμάζεται τὸ μετατρέπειν κατὰ τὸ δοκοῦν τὰ Τροπάρια, ἐν οἷς μάλιστα γίνεται μυεία ἱστορικῶν ἐχόντων σημασίαν, διὰ ταῦτα συνιστᾶται τῷ ψάλλοντι ἵνα τηρῇ ἐν πάσῃ ἀκριβείᾳ τὸ κείμενον ὡς εὕρηται.*

τοῦ Ἁγίου καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ, Κοντάκιον *Προστασία τῶν χριστιανῶν*, Ἀπόστολος τοῦ Ἁγίου καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως, *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

ΜΗΝ ΝΟΕΜΒΡΙΟΣ

Τῇ Α'.—Τῶν ἁγίων Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ.

1. Εἰ τύχοι ἡ μνήμη τῶν Ἁγίων ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία αὐτῶν ψάλλεται κατὰ τὴν τοῦ Μηναίου διάταξιν.

2. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ ς' καὶ τῶν Ἁγίων δ'. Δόξα τῶν Ἁγίων, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τῶν Ἁγίων, Καὶ νῦν *Ὁ ποιητὴς καὶ λυτρωτής μου*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῶν Ἁγίων, τὸ Θεοτοκίον ~~Σὲ τὴν μεσιτεύσασαν~~ *Ὁ δι' ἡμᾶς γεννηθείς*, καὶ Ἀπόλυσις.

3. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, Εἶτα τὸ Τρισάγιον, ἡ Ὑπακοὴ τοῦ ἤχου, καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν· εἶτα τὸ Ψαλτήριον, καὶ ὁ Ἄμωμος. Τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τῶν Ἁγίων. Ἀπὸ γ' Ὠδῆς Κάθισμα τῶν Ἁγίων καὶ Θεοτοκίον· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα, καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων· αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*. Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τῶν Ἁγίων καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ τῶν Ἁγίων

δ'. Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. καὶ τὸ *Σήμερον σωτηρία* καὶ καθεξῆς ἡ Λειτουργία, ἐν ᾗ ψάλλονται τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ ἄλλα δ' ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τῶν Ἁγίων. Ἀπόστολος τῶν Ἁγίων, καὶ Εὐαγγέλιον τῆς Κυριακῆς, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς*, καὶ Ἀπόλυσις.

Τῇ Η'.— Ἡ Σύναξις τῶν Ἀρχιστρατήγων Μιχαὴλ καὶ Γαβριὴλ καὶ τῶν λοιπῶν Ἀσωμάτων Δυνάμεων.

1. Ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὰ ς' κατὰ σειρὰν Προσόμοια, Δόξα *Συγχάρητε ἡμῖν ἅπασαι αἱ τῶν Ἀγγέλων ταξιαρχίαι*, Καὶ νῦν *Συγχάρητε ἡμῖν ἅπασαι αἱ τῶν παρθένων χοροστασίαι*. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα τὰ γ' Στιχηρὰ Προσόμοια, ὧν οἱ στίχοι *Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς Λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα*, καὶ *Εὐλόγει ἡ ψυχή μου τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα*. Δόξα καὶ νῦν *Ὡς Ταξιάρχης καὶ Πρόμαχος*, τὸ Ἀπολυτίκιον *Τῶν Οὐρανίων Στρατιῶν*, Θεοτοκίον *Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον* καὶ Ἀπόλυσις.

2. Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν ἡ Λιτὴ, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ Ἀπολυτίκιον δὶς, καὶ τὸ Θεοτοκίον ἅπαξ· τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος. Τὰ Καθίσματα κατὰ σειράν· οἱ Ἀναβαθμοὶ, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου, τὸ Προκείμενον *Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα. Πᾶσα πνοὴ*, καὶ τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου, εἶτα ὁ Ν' ψαλμὸς χῦμα, Δόξα *Ταῖς τῶν Ἀσωμάτων, Οἰκτίρμων, προστασίαις*, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου*, ὁ στίχος *Ἐλέησόν με ὁ Θεὸς*, καὶ τὸ Ἰδιόμελον, *Τῷ αὐλῷ θρόνῳ* (ζήτει εἰς τὴν Λιτὴν), ὁ Κανὼν τῆς Θεοτόκου *Ὑγρὰν διοδεύσας*, καὶ ὁ τῶν Ἀσωμάτων *Τοὺς τοιχους τῶν Ἀσωμάτων τάξεων*, οὗ ὁ στίχος *Ἅγιοι τοῦ Θεοῦ*, ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα καὶ τὸ Θεοτοκίον, ἀφ' ς' τὸ Κοντάκιον καὶ ὁ Οἶκος καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου*, εἰς τὸ τέλος, καὶ ἅμα γηθόμενος ταύ-

της τὴν Εἴσοδον. Εἰς τὴν γ' Ὠδὴν, *Ἐν τῇ σεπτῇ Εἰσόδῳ σου,* εἰς τὴν ε', *Ἔνδον εἰσῆλθες ἐν τῷ ναῷ τοῦ Θεοῦ,* εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν.* Εἰς τὸ *Ἅπας γηγενής: τὰ ἱερὰ Εἰσόδια τῆς Θεομήτορος,* τὰ Ἐξαποστειλάρια κατὰ σειράν. Εἰς τοὺς Αἴνους τὰ Προστόμοια, *Τῶν οὐρανίων Ταγμάτων ὡς προεξάρχοντα,* Δόξα *Ὅπου ἐπισκιάσῃ ἡ χάρις σου, Ἀρχάγγελε,* Καὶ νῦν *Μακαρίζομέν σε,* Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον.

3. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ, Τροπάρια ἐκ τῆς γ' καὶ ς' Ὠδῆς τοῦ δ' Κανόνος· μετὰ τὴν Εἴσοδον *Δεῦτε προσκυνήσωμεν . . . ὁ ἐν Ἁγίοις θαυμαστός·* τὸ Ἀπολυτίκιον *Τῶν Οὐρανίων Στρατιῶν,* τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Ὁ καθαρώτατος Ναός.* Εἰς τὸ Ἐξαποστειλάριον *Ἄξιόν ἐστιν,* Κοινωνικὸν *Ὁ ποιῶν τοὺς Ἀγγέλους, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

4. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ' καὶ τῶν Ταξιαρχῶν ς', Δόξα *Συγχάρητε ἡμῖν,* Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν,* τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν *Ὡς Ταξιάρχης καὶ πρόμαχος,* Ἀπολυτίκια τὸ Ἀναστάσιμον, *Τῶν Οὐρανίων Στρατιῶν, Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον* καὶ Ἀπόλυσις.

5. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν, ἡ Λιτὴ τῶν Ταξιαρχῶν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν,* εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ Καθίσματα, ἓν Ἀναστάσιμον καὶ ἓν τῶν Ταξιαρχῶν μετὰ τοῦ Θεοτοκίου, ἐν δὲ τῇ γ' στιχολογίᾳ τὸ τῶν Ταξιαρχῶν καὶ τὸ Θεοτοκίον, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ δ' τῶν Ταξιαρχῶν, ἀπὸ γ' Ὠδῆς τὸ Ἀναστάσιμον, Κοντάκιον καὶ ὁ Οἶκος χῦμα, εἶτα τὸ Κάθισμα τῶν Ταξιαρχῶν καὶ τὸ Θεοτοκίον· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τῶν Ταξιαρχῶν καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου,* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν,* Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τῶν Ταξιαρχῶν καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ τῶν Ταξιαρχῶν

δ'. Δόξα *Ὅπου ἐπισκιάσῃ,* Καὶ νῦν *Ὑπερευλογημένη,* Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία.*

6. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ', καὶ δ' ἐκ τῆς ς' Ὠδῆς τοῦ δ' Κανόνος τῶν Ταξιαρχῶν. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῶν Ταξιαρχῶν, τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Ὁ καθαρώτατος ναὸς,* Ἀπόστολος τῶν Ταξιαρχῶν καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως, *Ἄξιόν ἐστιν,* Κοινωνικὸν *Ὁ ποιῶν τοὺς ἀγγέλους, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ ΙΑ'.—Τῶν ἁγίων Μαρτύρων Μηνᾶ, Βίκτωρος καὶ Βικεντίου, καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν Θεοδώρου τοῦ Στουδίτου.

1. Εἰ τύχοι ἡ μνήμη τῶν Ἁγίων ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία αὐτῶν μετὰ τῆς τοῦ ὁσίου Θεοδώρου ψάλλεται κατὰ τὴν ἐν τῷ Μηναίῳ διάταξιν.

2. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Ἀναστάσιμα ς' καὶ τῶν Ἁγίων δ'. Δόξα τῶν Ἁγίων, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν,* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα *Τὸν ἀριστέα τοῦ Χριστοῦ,* Καὶ νῦν *Ἰδοὺ πεπλήρωται,* τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῶν Ἁγίων, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

Ἡ δὲ τοῦ Ὁσίου Ἀκολουθία ψάλλεται ἐν τοῖς Ἀποδείπνοις.

3. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν' ψαλμὸν ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν,* εἶτα τὸ Τρισάγιον, ἡ Ὑπακοὴ καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος· τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειράν, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τῶν Ἁγίων· ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα τῶν Ἁγίων, καὶ τὸ Θεοτοκίον· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα, καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων· αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν.* Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τῶν Ἁγίων καὶ

τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ τῶν Ἁγίων δ΄ (τὰ ἐν τῷ Ἑσπερινῷ Ἀπόστιχα). Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν Ὑπερευλογημένη, Δοξολογία Μ. καὶ τὸ *Σήμερον σωτηρία*, καὶ καθεξῆς ἡ Λειτουργία, ἐν ᾗ ψάλλονται τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ ἄλλα δ΄ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ κανόνος τῶν Ἁγίων· Ἀπόστολος τῶν Ἁγίων, καὶ Εὐαγγέλιον τῆς Κυριακῆς· Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ ΙΒ΄.—Τοῦ ἁγίου Ἰωάννου τοῦ Ἐλεήμονος καὶ τοῦ ὁσίου Πατρὸς ἡμῶν Νείλου.

1. Εἰ τύχοι ἡ μνήμη τοῦ Ἁγίου ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία ψάλλεται κατὰ τὴν τοῦ Μηναίου διάταξιν.

Εἰ δὲ τύχοι ἐν Κυριακῇ, ἡ τοῦ Ὁσίου Νείλου Ἀκολουθία καταλιμπάνεται ψαλλομένη ἐν τοῖς Ἀποδείπνοις καὶ ψάλλεται μόνη ἡ τοῦ Ἐλεήμονος μετὰ τῆς ἀναστασίμου Ἀκολουθίας, κατὰ τὴν ἀνωτέρω § 2 καὶ 3 διάταξιν.

Τῇ ΙΓ΄.—Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου.

1. Ἐν τῷ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν καὶ τὴν α΄ Στάσιν τοῦ Ψαλτηρίου, εἰς τὸ *Κύριε ἐκέκραξα*, ψαλλομεν τὰ γ΄ τοῦ Ἁγίου Προσόμοια *Τὴν χρυσήλατον Σάλπιγγα*, εἰς ς΄. Δόξα *Ὅσιε τρισμάκαρ*, Καὶ νῦν *Τίς μὴ μακαρίσει σε*. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα τὰ γ΄ Προσόμοια, Δόξα *Σάλπιγξ χρυσόφωνος*, Καὶ νῦν *Θεοτόκε σὺ εἶ ἡ ἄμπελος*, τὸ Ἀπολυτίκιον *Ἡ τοῦ στόματός σου καθάπερ*, τὸ Θεοτοκίον *Ὁ δι΄ ἡμᾶς γεννηθεὶς*, καὶ Ἀπόλυσις.

2. Εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν΄ ψαλμὸν, ἡ Λιτὴ τοῦ Ἁγίου, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ Ἀπολυτίκιον δὶς καὶ τὸ Θεοτοκίον ἅπαξ, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ Καθίσματα κατὰ σειρὰν, οἱ Ἀναβαθμοὶ, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου, τὸ Προκείμενον *Τὸ στόμα μου λαλήσει σοφίαν*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον· εἶτα ὁ Ν΄ ψαλμὸς χῦμα, Δόξα *Σήμερον σκιρτῶσιν ἐν πνεύματι*, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου*, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς*, καὶ τὸ Ἰδιόμελον *Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου*, Κανόνες ὁ τῆς Θεοτόκου *Ὑγρὰν διοδεύσας*, καὶ ὁ τοῦ Ἁγίου· ἀπὸ γ΄ Ὠδῆς τὸ Κάθισμα καὶ τὸ Θεοτοκίον· ἀφ΄ ς΄, τὸ Κοντάκιον, ὁ Οἶκος καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου* καὶ στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, εἶτα τὸ Ἐξαποστειλάριον καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους τὰ Προσόμοια *Χρυσοῦ τηλαυγέστερον*, Δόξα *Χρυσέοις ἔπεσι*, Καὶ νῦν *Δέσποινα πρόσδεξαι*, Δοξολογία Μ. καὶ τὸ Ἀπολυτίκιον.

3. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ, τὰ Τροπάρια ἐκ τῆς γ΄ καὶ ς΄ Ὠδῆς τοῦ Κανόνος τοῦ Ἁγίου· μετὰ τὴν Εἴσοδον, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, τὸ τοῦ ἁγίου τοῦ Ναοῦ, καὶ τὸ Κοντάκιον *Ὁ καθαρώτατος Ναὸς*, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Εἰς μνημόσυνον αἰώνιον, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

4. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ ς΄ καὶ τοῦ Ἁγίου δ΄. Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρά. Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Ὁ ποιητὴς καὶ λυτρωτής μου*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Ἁγίου, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

5. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν΄ ψαλμὸν ὁ Τριαδικὸς κανὼν, ἡ Λιτὴ τοῦ Ἁγίου καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, τὸ Τρισάγιον τὸ Ἀπολυτίκιον καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν καὶ τὰ τῆς γ΄ στιχολογίας Καθίσματα τοῦ Ἁγίου μετὰ τοῦ Θεοτοκίου, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τοῦ Ἁγίου. Ἀπὸ γ΄ Ὠδῆς τὰ Ἀναστάσιμα, Κοντάκιον καὶ Οἶκος χῦμα, εἶτα τὸ Κάθισμα τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον, ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τοῦ Ἁγίου καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Ἀνοίξω το στόμα μου* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς

Αἴνους Ἀναστάσιμα δ' καὶ τοῦ Ἁγίου δ'. Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. καὶ τὸ *Σήμερον σωτηρία*.

6. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ δ' ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τοῦ Ἁγίου· μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Ἁγίου, τοῦ ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Ὁ καθαρώτατος ναὸς*, Ἀπόστολος τοῦ Ἁγίου καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Εἰς μνημόσυνον*, *Εὔδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ ΙΔ'.—Τοῦ ἁγίου Ἀποστόλου Φιλίππου.

1. Εἰ τύχοι ἡ μνήμη τοῦ Ἀποστόλου ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία ψάλλεται κατὰ τὴν ἐν τῷ Μηναίῳ διάταξιν.

Εἰ δὲ τύχοι ἐν Κυριακῇ, ὅρα τὴν διάταξιν ἐν τῇ τοῦ ἁγίου Ἀποστόλου Λουκᾶ Ἀκολουθίᾳ (Ὀκτωβρίου ιη'). Εἰς τοὺς Αἴνους Δόξα τὸ Ἑωθινόν· εἰς τὴν Λειτουργίαν ὁ Ἀπόστολος τοῦ Ἁγίου καὶ τὸ Εὐαγγέλιον τῆς Κυριακῆς. Κοινωνικὸν *Αἰνεῖτε τὸν Κύριον* κτλ.

Τῇ ΙΣΤ'.—Τοῦ ἁγίου Ἀποστόλου καὶ Εὐαγγελιστοῦ Ματθαίου.

1. Εἰ τύχοι ἡ μνήμη τοῦ Ἀποστόλου ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία αὐτοῦ ψάλλεται κατὰ τὴν ἐν τῷ Μηναίῳ διάταξιν.

2. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ ς' καὶ τοῦ Εὐαγγελιστοῦ δ'. Δόξα τοῦ Εὐαγγελιστοῦ, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Εὐαγγελιστοῦ, Καὶ νῦν *Ὁ ποιητὴς καὶ λυτρωτής μου*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Εὐαγγελιστοῦ, τὸ Θεοτοκίον *Σὲ τὴν μεσιτεύσασαν* καὶ Ἀπόλυσις.

3. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν ὁ Τριαδικὸς κανὼν, καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*· εἶτα τὸ Τρισάγιον, τὸ

Ἀπολυτίκιον τοῦ Ἀποστόλου καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου, καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τοῦ Εὐαγγελιστοῦ· ἀπὸ γ' Ὠδῆς μετὰ τὸ Κοντάκιον τοῦ Εὐαγγελιστοῦ, τὸ Κάθισμα τοῦ αὐτοῦ καὶ τὸ Θεοτοκίον· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα, καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*. Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τὸ τοῦ Εὐαγγελιστοῦ, καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ τοῦ Εὐαγγελιστοῦ δ'. Δόξα τοῦ Εὐαγγελιστοῦ, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. καὶ τὸ *Σήμερον σωτηρία*· καὶ καθεξῆς ἡ Λειτουργία, ἐν ᾗ ψάλλονται τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ δ' ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τοῦ Εὐαγγελιστοῦ· Ἀπόστολος τοῦ Ἁγίου καὶ Εὐαγγέλιον τῆς Κυριακῆς, Κοινωνικὸν *Εἰς πᾶσαν τὴν γῆν*, *Εὔδομεν τὸ φῶς*, καὶ Ἀπόλυσις.

Τῇ Κ'.—Τὰ προεόρτια τῆς ἐν τῷ Ναῷ Εἰσόδου τῆς Ὑπεραγίας Θεοτόκου καὶ τῶν ἁγίων Γρηγορίου τοῦ Δεκαπολίτου καὶ Πρόκλου Κωνσταντινουπόλεως.

1. Ἂν τύχωσι τὰ Προεόρτια τῆς Θεοτόκου ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Προεόρτιος Ἀκολουθία μετὰ τῆς τῶν Ἁγίων ψάλλεται κατὰ τὴν ἐν τῷ Μηναίῳ διάταξιν.

2. Ἂν δὲ τύχωσιν ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ ς' καὶ Προεόρτια δ'. Δόξα *Σήμερον ὁ θεοχώρητος Ναὸς*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν *Δεῦτε πάντες οἱ πιστοὶ*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τὸ Προεόρτιον *Χαρὰν προμηνυστεύεται* καὶ Ἀπόλυσις.

3. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Προεόρτιον Ἀπολυτίκιον καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ

ἀναστάσιμον Ἀπολυτίκιον δὶς καὶ τὸ Προεόρτιον ἅπαξ, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα, καὶ ἀντὶ τῶν Θεοτοκίων τὰ Προεόρτια, τὰ Εὐλογητάρια, ἡ Ὑπακοή, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου, καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ Προεόρτιος, ὁ Στίχος *Ὑπεραγία Θεοτόκε*· ἀπὸ γ′ Ὠδῆς Κάθισμα τὸ Προεόρτιον *Εὐφροσύνης σήμερον* ἅπαξ· ἀφ′ ς′ Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου*, καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*. Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον καὶ τὸ Προεόρτιον. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ′ καὶ Προεόρτια (τὰ Ἀπόστιχα τῶν Αἴνων) δ′. Δόξα τὸ Ἑωθινόν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. καὶ τὸ *Σήμερον σωτηρία*.

4. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ′ καὶ δ′ ἐκ τῆς ς′ Ὠδῆς τοῦ Προεορτίου Κανόνος. Μετὰ τὴν Εἴσοδον τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ Προεόρτιον, τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Εὐφροσύνης σήμερον* Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε. Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ ΚΑ′.—Ἡ ἐν τῷ Ναῷ Εἴσοδος τῆς Ὑπεραγίας Θεοτόκου.

5. Ἐν τῷ Μ. Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὴν α′ Στάσιν τοῦ Ψαλτηρίου, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν εἰς ς′ τὰ Στιχηρὰ *Σήμερον πιστοὶ* καὶ τὰ *Τῶν Ἁγίων εἰς Ἅγια*. Δόξα Καὶ νῦν *Μετὰ τὸ τεχθῆναί σε*. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα τὰ Προσόμοια *Χαίρει ὁ οὐρανὸς καὶ ἡ γῆ*, Δόξα Καὶ νῦν *Σήμερον τὰ στίφη τῶν πιστῶν*, τὸ Ἀπολυτίκιον *Σήμερον τῆς εὐδοκίας* ἐκ τρίτου καὶ Ἀπόλυσις.

6. Εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν′ ψαλμὸν ἡ Λιτή· εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον, καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ Ἀπολυτίκιον ἐκ τρίτου, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος *Ἐξηρεύξατο ἡ καρδία μου*, τὰ Καθίσματα κατὰ σειρὰν, οἱ Ἀναβαθμοὶ, τὸ α′ Ἀντίφωνον τοῦ δ′ ἤχου, τὸ Προκείμενον *Ἄκουσον, θύγατερ, καὶ ἴδε*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον *Ἀναστᾶσα*

Μαριὰμ, εἶτα ὁ Ν′ ψαλμὸς χῦμα. Δόξα *Σήμερον ὁ ναὸς ὁ ἔμψυχος*. Καὶ νῦν τὸ αὐτὸ *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον, τῆς Λιτῆς *Σήμερον ὁ θεοχώρητος Ναὸς*, οἱ Κανόνες ἀμφότεροι ὧν ὁ στίχος *Ὑπεραγία Θεοτόκε*· ἀπὸ γ′ Ὠδῆς τὰ δύο Καθίσματα, ἀφ′ ς′ τὸ Κοντάκιον, ὁ Οἶκος καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Χριστὸς γεννᾶται*· εἰς τὴν Θ′ ψάλλονται οἱ δύο Κανόνες τῆς θ′ Ὠδῆς μετὰ τῶν Μεγαλυναρίων ὡς ἔξης·

Διὰ τὸν εἰς ἦχον δ′ πρῶτον Κανόνα.

Ἄγγελοι τὴν Εἴσοδον τῆς Παρθένου ὁρῶντες ἐξεπλήττοντο, πῶς μετὰ δόξης εἰσῆλθεν, εἰς τὰ Ἅγια τῶν Ἁγίων.

Ἄγγελοι τὴν Εἴσοδον τῆς Πανάγνου ὁρῶντες ἐξεπλήττοντο πῶς παραδόξως εἰσῆλθεν, εἰς τὰ Ἅγια τῶν Ἁγίων.

Ἄγγελοι καὶ ἄνθρωποι τῆς Παρθένου τὴν Εἴσοδον τιμήσωμεν, ὅτι ἐν δόξῃ εἰσῆλθεν, εἰς τὰ Ἅγια τῶν Ἁγίων.

Ἄγγελοι σκιρτήσατε σὺν ἁγίοις, Παρθένοι συγχορεύσατε· ἡ γὰρ Θεόπαις εἰσῆλθεν, εἰς τὰ Ἅγια τῶν Ἁγίων.

Διὰ τὸν εἰς ἦχον α′ δεύτερον Κανόνα.

Μεγάλυνον ψυχή μου τὴν προσενεχθεῖσαν ἐν τῷ Ναῷ Κυρίου καὶ εὐλογηθεῖσαν, χερσὶ τῶν Ἱερέων. Δίς.

Δόξα, **Μεγάλυνον ψυχή μου τῆς Τρισυποστάτου . . .**

Καὶ νῦν, **Μεγάλυνον ψυχή μου τὴν τιμιωτέραν . . .**

Ἡ Καταβασία *Μεγάλυνον ψυχή μου τὴν τιμιωτέραν καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων· Μυστήριον ξένον*, τὸ Ἐξαποστειλάριον *Ἦν πάλαι προκατήγγειλεν* ἐκ τρίτου. Εἰς τοὺς Αἴνους τὰ Προσόμοια *Λαμπαδηφόροι Παρθένοι* εἰς δ′. Δόξα Καὶ νῦν *Σήμερον τῷ ναῷ προσάγεται*, Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον.

7. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα·

Ἀντίφωνον α'.

Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ

Ὁ Θεὸς ἐν τοῖς βάρεσιν αὐτῆς γινώσκεται.

Καθάπερ ἠκούσαμεν οὕτω καὶ εἴδομεν.

} *Ταῖς προσβείαις τῆς Θεοτόκου* κτλ.

Ἀντίφωνον β'.

Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.

Ἁγιωσύνη καὶ μεγαλοπρέπεια ἐν τῷ ἁγιάσματι αὐτοῦ.

Αὕτη ἡ πύλη Κυρίου, δίκαιοι εἰσελεύσονται ἐν αὐτῇ.

Ἅγιος ὁ ναός σου θαυμαστὸς ἐν δικαιοσύνῃ.

} *Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς* κτλ.

Ἀντίφωνον γ'.

Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Πᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν ἐν κροσσωτοῖς χρυσοῖς περιβεβλημένη, πεποικιλμένη.

Ἀπενεχθήσονται τῷ Βασιλεῖ παρθένοι ὀπίσω αὐτῆς.

} *Σήμερον τῆς εὐδοκίας Θεοῦ τὸ προοίμιον* κτλ.

Εἰς τὴν Εἴσοδον *Δεῦτε προσκυνήσωμεν . . . ὁ ἐν Ἁγίοις θαυμαστὸς*, τὸ Ἀπολυτίκιον *Σήμερον τῆς εὐδοκίας* καὶ Κοντάκιον, *Ὁ καθαρώτατος Ναὸς*, ὁ Ἀπόστολος *Εἶχεν ἡ πρώτη σκηνὴ*, καὶ τὸ Εὐαγγέλιον *Εἰσῆλθεν ὁ Ἰησοῦς*. Εἰς τὸ Ἐξαιρέτως *Ἄγγελοι τὴν εἴσοδον τῆς Παρθένου. . . Ὡς ἐμψύχῳ Θεοῦ Κιβωτῷ*, Κοινωνικὸν *Ποτήριον*, *Εἴδομεν τὸ φῶς*, καὶ Ἀπόλυσις.

8. Εἰ τύχοι ἡ ἑορτὴ ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ' καὶ τῆς ἑορτῆς ς', Δόξα Καὶ νῦν τῆς ἑορτῆς, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν τὸ τῆς ἑορτῆς, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς δὶς καὶ Ἀπόλυσις.

9. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν, ἡ Λιτὴ τῆς ἑορτῆς καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ ἀνκστάσιμον Ἀπολυτίκιον καὶ τὸ τῆς ἑορτῆς δὶς, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ Καθίσματα εἰς τὴν α' Στιχολογίαν, Ἀναστάσιμα β' καὶ τῆς ἑορτῆς *Δικαίων ὁ καρπός*. Εἰς τὴν β' Στιχολογίαν Ἀναστάσιμα δύο καὶ τῆς ἑορτῆς *Δαβὶδ προοδοποίησον*. Εἰς τὴν γ' Στιχολογίαν, τὰ δύο τῆς ἑορτῆς, ἡ Αἴτησις, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου, τὸ Προκείμενον τῆς ἑορτῆς *Ἄκουσον θύγατερ καὶ ἴδε*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον *Ἀναστᾶσα Μαριὰμ*, τὸ *Ἀνάστασιν Χριστοῦ θεασάμενοι*, καὶ ὁ Ν' ψαλμὸς χῦμα, Δόξα *Σήμερον ὁ ναὸς ὁ ἔμψυχος*, Καὶ νῦν τὸ αὐτὸ, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Σήμερον ὁ θεοχώρητος Ναὸς*, Κανόνες ὁ Ἀναστάσιμος καὶ οἱ δύο τῆς ἑορτῆς· ἀπὸ γ' Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου χῦμα, εἶτα τὰ δύο τῆς ἑορτῆς Καθίσματα, ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τῆς ἑορτῆς καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Χριστὸς γεννᾶται*, εἶτα ψάλλονται οἱ δύο Κανόνες τῆς Θ' Ὠδῆς μετὰ τῶν Μεγαλυναρίων αὐτῶν καὶ ἡ Καταβασία *Μεγάλυνον ψυχή μου . . . Μυστήριον ξένον*, τὸ ἀναστάσιμον Ἐξαποστειλάριον καὶ τὸ τῆς ἑορτῆς δίς. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ τῆς ἑορτῆς δ', Δόξα *Σήμερον τῷ Ναῷ προσάγεται*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

10. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα (ὅρα § 7) μετὰ τοῦ *Ὁ ἀναστὰς ἐκ νεκρῶν*· μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς καὶ Κοντάκιον *Ὁ καθαρώτατος Ναὸς*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς ἑορτῆς. Εἰς τὸ Ἐξαιρέτως, *Ἄγγελοι τὴν εἴσοδον τῆς Παρθένου . . . Ὡς ἐμψύχῳ Θεοῦ Κιβωτῷ*, Κοινωνικὸν *Ποτήριον*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

11. Κυριακὴ μετὰ τὴν ἑορτήν· τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα*, ψάλλο-

μεν ἀναστάσιμα Στιχηρὰ ς' καὶ μεθέορτα τῆς σειρᾶς δ'. Δόξα τῆς ἑορτῆς, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν μεθέορτον, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τὸ τῆς ἑορτῆς καὶ Ἀπόλυσις.

12. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ *Ἄξιόν ἐστιν*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον δὶς καὶ τὸ τῆς ἑορτῆς ἅπαξ, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν καὶ ἀντὶ Θεοτοκίων τὰ μεθέορτα, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ ἀναστάσιμος καὶ ὁ δεύτερος τῆς ἑορτῆς· ἀπὸ γ' Ὠδῆς Κάθισμα μεθέορτον, ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Χριστὸς γεννᾶται* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ μεθέορτα δ', Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

13. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ ἐκ τῆς ς' τοῦ Κανόνος τῆς ἑορτῆς δ'. Μετὰ τὴν Εἴσοδον τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Ὁ καθαρώτατος Ναὸς*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, τὸ Κοινωνικὸν *Αἰνεῖτε*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ ΚΕ'.—Ἡ Ἀπόδοσις τῆς ἑορτῆς, καὶ τῆς ἁγίας Μεγαλομάρτυρος καὶ Πανσόφου Αἰκατερίνης.

14. Ἐν τῷ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα*, ψάλλομεν τὰ τῆς ἑορτῆς Προσόμοια *Σήμερον πιστοὶ χορεύσωμεν* γ' καὶ τῆς Ἁγίας γ', Δόξα τῆς Ἁγίας, Καὶ νῦν τῆς ἑορτῆς, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον, τὰ Ἀπόστιχα τῆς ἑορτῆς *Χαίρει ὁ οὐρανὸς καὶ ἡ γῆ*, Δόξα τῆς Ἁγίας, Καὶ νῦν τὸ τῆς ἑορτῆς, Ἀπολυτίκιον τῆς ἑορτῆς, τὸ τῆς Ἁγίας, αὖθις τὸ τῆς ἑορτῆς καὶ Ἀπόλυσις.

15. Εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν' ψαλμὸν, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον, τὰ Καθίσματα τῆς Ἁγίας καὶ τὰ τῆς ἑορτῆς, ὁ Ν' ψαλμὸς χῦμα, οἱ Κανόνες τῆς ἑορτῆς καὶ ὁ τῆς Ἁγίας· ἀπὸ γ' Ὠδῆς Κάθισμα τῆς Ἁγίας καὶ τὸ τῆς ἑορτῆς· ἀφ' ς' τὸ Κοντάκιον καὶ ὁ Οἶκος τῆς Ἁγίας καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Χριστὸς γεννᾶται* καὶ ψάλλεται ἡ Θ' Ὠδὴ τῆς ἑορτῆς μετὰ τῶν Μεγαλυναρίων. Ἐξαποστειλάρια τῆς Ἁγίας καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους τῆς ἑορτῆς Προσόμοια γ' καὶ τῆς Ἁγίας γ' Δόξα τῆς Ἁγίας, Καὶ νῦν τῆς ἑορτῆς, Δοξολογία Μ. καὶ τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς.

16. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς. Μετὰ τὴν Εἴσοδον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς, τὸ τῆς Ἁγίας, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Ὁ καθαρώτατος Ναός*. Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Ἁγίας. Εἰς τὸ Ἐξαιρέτως *Ἄγγελοι τὴν εἴσοδον. . . Ὡς ἐμψύχῳ Θεοῦ Κιβωτῷ*, Κοινωνικὸν *Ποτήριον*, *Εἴδομεν τὸ φῶς*, Ἀπόλυσις καὶ Ἀπόδοσις.

17. Εἰ τύχοι ἡ Ἀπόδοσις ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ δ', τῆς ἑορτῆς γ' καὶ τῆς Ἁγίας γ'. Δόξα τῆς ἑορτῆς, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τῆς Ἁγίας, Καὶ νῦν τῆς ἑορτῆς, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῆς Ἁγίας, τὸ τῆς ἑορτῆς καὶ Ἀπόλυσις.

18. Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν· εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος· τὰ ἀναστάσιμα Καθίσματα, καὶ ἀνὰ ἓν τῆς ἑορτῆς· τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος, ὁ τῆς ἑορτῆς καὶ ὁ τῆς Ἁγίας, ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα τῆς Ἁγίας, καὶ τὸ τῆς ἑορτῆς· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα, καὶ τὸ Μηνολόγιον· αἱ Καταβασίαι *Χριστὸς γεννᾶται*, καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν* καὶ ψάλλεται καὶ ἡ Θ' Ὠδὴ τῆς ἑορτῆς μετὰ τῶν Μεγαλυναρίων. Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τὸ

τῆς Ἁγίας, καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ', καὶ τῆς Ἁγίας δ'. Δόξα *Σήμερον τῷ Ναῷ προσάγεται*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

19. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα τῆς ἑορτῆς, εἰς τὸ δ' Ἀντίφωνον, *Ὁ ἀναστὰς ἐκ νεκρῶν*. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς, τῆς Ἁγίας, τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Ὁ καθαρώτατος Ναός*, ὁ Ἀπόστολος τῆς Ἁγίας καὶ τὸ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Ἄγγελοι τὴν εἴσοδον τῆς Παράγνου... Ὡς ἐμψύχῳ Θεοῦ Κιβωτῷ*, Κοινωνικὸν *Ποτήριον, Εἴδομεν τὸ φῶς*, καὶ Ἀπόλυσις.

Σημειωτέον ὅτι, μετὰ τὴν Ἀπόδοσιν τῆς ἑορτῆς τῇ πρώτῃ Κυριακῇ ἡ ἑορτὴ, ψάλλεται τὸ Προεόρτιον Κοντάκιον τῶν Χριστουγέννων *Ἡ Παρθένος σήμερον τὸν προαιώνιον Λόγον*.

Τῇ Λ'.—Τοῦ ἁγίου Ἀποστόλου Ἀνδρέου τοῦ Πρωτοκλήτου.

1. Ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὴν α' Στάσιν τοῦ Ψαλτηρίου, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὰ γ' ἑσπέρια Προσόμοια *Ὁ τῷ Προδρόμου φωτὶ μεμορφωμένος* εἰς ς'. Δόξα *Τὴν τῶν ἰχθύων ἄγραν*, Καὶ νῦν Προεόρτιον *Ἡσαΐα χόρευε*. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα· εἶτα τὰ Ἀπόστιχα· Δόξα *Τὸν συναίμονα Πέτρου*, Καὶ νῦν Προεόρτιον *Ἰωσὴφ εἰπὲ ἡμῖν*, τὸ Ἀπολυτίκιον *Ὡς τῶν Ἀποστόλων πρωτόκλητος*, Καὶ νῦν *Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον* καὶ Ἀπόλυσις.

2. Εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν' ψαλμὸν ἡ Λιτὴ, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ Ἀπολυτίκιον δὶς καὶ τὸ Θεοτοκίον ἅπαξ· τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος· τὰ Καθίσματα κατὰ σειρὰν, οἱ Ἀναβαθμοὶ, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου, τὸ Προκείμενον *Εἰς πᾶσαν τὴν γῆν*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον· ὁ Ν' ψαλμὸς χῦμα. Δόξα *Ταῖς τοῦ Ἀποστόλου*, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου*, Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Ὁ πρωτόκλητος μαθητὴς* (ζήτει εἰς τὴν Λιτήν)· ὁ Κανὼν τῆς Θεοτόκου, ὁ τοῦ Μηναίου καὶ ὁ τοῦ Ἀποστόλου *Τὴν τεθολωμένην μου ψυχήν*· ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα καὶ τὸ

Θεοτοκίον, ἀφ' ς' τὸ Κοντάκιον, ὁ Οἶκος καὶ τὸ Μηνολόγιον· αἱ Καταβασίαι *Χριστὸς γεννᾶται*· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, τὰ δύο Ἐξαποστειλάρια καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους τὰ Προσόμοια *Βηθσαϊδὰ νῦν ἀγάλλου* εἰς δ'. Δόξα *Τὸν κήρυκα τῆς πίστεως*, Καὶ νῦν Προεόρτιον *Ὑπόδεξαι Βηθλεὲμ*, Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον.

3. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ, Τροπάρια ἐκ τῆς γ' Ὠδῆς τοῦ α' καὶ ἐκ τῆς ς' τοῦ δ' Κανόνος. Μετὰ τὴν Εἴσοδον τὸ Ἀπολυτίκιον τοῦ Ἀποστόλου, τὸ τοῦ ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Ἡ Παρθένος σήμερον*. Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Ἀποστόλου. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Εἰς πᾶσαν τὴν γῆν, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

4. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ ς' καὶ τοῦ Ἀποστόλου δ'. Δόξα τοῦ Ἀποστόλου, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρά. Δόξα *Τὸν συναίμονα Πέτρου*, Καὶ νῦν *Ἰωσὴφ εἰπὲ ἡμῖν*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Ἀποστόλου, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

5. Εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν, ἡ Λιτὴ τοῦ Ἀποστόλου καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ἀποστόλου καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ Καθίσματα ἀνὰ ἓν Ἀναστάσιμον καὶ ἓν τοῦ Ἀποστόλου μετὰ τοῦ Θεοτοκίου· ἐν δὲ τῇ γ' Στιχολογίᾳ, τὸ τοῦ Ἀποστόλου καὶ τὸ Θεοτοκίον, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ α' τοῦ Ἀποστόλου *Τὴν τεθολωμένην μου ψυχήν*, ἀπὸ γ' Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου χῦμα καὶ τὸ Κάθισμα τοῦ Ἀποστόλου καὶ τὸ Θεοτοκίον· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Ἀποστόλου καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Χριστὸς γεννᾶται* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον τοῦ Ἀποστόλου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ τοῦ Ἀποστόλου δ', Δόξα, ἀντὶ τοῦ Ἑωθινοῦ, λέγεται τὸ τοῦ Ἀποστό-

λου, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

6. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ δ' ἐκ τῆς ς' Ὠδῆς τοῦ β' Κανόνος τοῦ Ἀποστόλου. Μετὰ τὴν Εἴσοδον τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Ἀποστόλου, τοῦ ἁγίου τοῦ Ναοῦ καὶ τὸ Κοντάκιον *Ἡ Παρθένος σήμερον*, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τοῦ Ἀποστόλου. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιον ἐστιν*, Κοινωνικὸν *Εἰς πᾶσαν τὴν γῆν*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

ΜΗΝ ΔΕΚΕΜΒΡΙΟΣ

Τῇ Δ'.—Τῆς ἁγίας Μεγαλομάρτυρος Βαρβάρας, καὶ τοῦ ἁγίου Ἰωάννου τοῦ Δαμασκηνοῦ.

1. Εἰ τύχοι ἡ μνήμη τῶν Ἁγίων ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία αὐτῶν ψάλλεται ὡς ἐστι διατεταγμένη ἐν τῷ Μηναίῳ. Εἰς τὸ Δόξα τῶν Ἀποστίχων τοῦ Ἑσπερινοῦ, Καὶ νῦν *Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή*.

2. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Ἀναστάσιμα δ', τῆς Ἁγίας γ' καὶ τοῦ Ὁσίου γ', Δόξα τῆς Ἁγίας, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Ὁσίου, Καὶ νῦν *Ὁ ποιητὴς καὶ λυτρωτής μου*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τῆς Ἁγίας, τοῦ Ὁσίου, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

3. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, ἡ Ὑπακοὴ τοῦ ἤχου καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ,

οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ οἱ τῶν Ἁγίων· ἀπὸ γ' Ὠδῆς Κάθισμα τῆς Ἁγίας *Τὸν νυμφίον σου Χριστὸν ἀγαπήσασα*, Δόξα τοῦ Ὁσίου *Τὴν τοῦ βίου ἀπάτην*, Καὶ νῦν Θεοτοκίον *Τὸ ἐξαίσιον θαῦμα*, ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων, αἱ Καταβασίαι *Χριστὸς γεννᾶται*, καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τῆς Ἁγίας, τοῦ Ὁσίου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ τοῦ Ὁσίου δ' (τὰ εἰς τὰ Ἀπόστιχα τοῦ Ἑσπερινοῦ), Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

4. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ δ' ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τῆς Ἁγίας. Μετὰ τὴν Εἴσοδον τὸ ἀναστάσιμον Ἀπολυτίκιον τῆς Ἁγίας, τοῦ Ὁσίου, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Ἡ Παρθένος σήμερον*, ὁ Ἀπόστολος τῆς Ἁγίας καὶ Εὐαγγέλιον τῆς Κυριακῆς, Κοινωνικὸν *Αἰνεῖτε*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ Ε'.—Τοῦ ὁσίου Πατρὸς ἡμῶν Σάββα τοῦ Ἡγιασμένου.

1. Εἰ τύχοι ἡ μνήμη τοῦ Ὁσίου ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία ψάλλεται ὡς ἐστι διατεταγμένη ἐν τῷ Μηναίῳ. Μετὰ τὸ Δόξα τῶν Ἀποστίχων τοῦ Ἑσπερινοῦ, Καὶ νῦν λέγεται *Δέσποινα πρόσδεξαι*.

2. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Ἀναστάσιμα ς' καὶ τοῦ Ὁσίου δ', Δόξα τοῦ Ὁσίου, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τοῦ Ὁσίου. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Ὁσίου, Καὶ νῦν *Ἀνύμφευτε Παρθένε*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τοῦ Ὁσίου, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

3. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν, ἡ Λιτὴ τοῦ Ὁσίου καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, ἡ Ὑπακοὴ τοῦ ἤχου καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλ-

τήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν καὶ ἡ γ' Στιχολογία τοῦ Ἁγίου, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τοῦ Ὁσίου, ἀπὸ γ' Ὠδῆς, μετὰ τὸ Κοντάκιον καὶ τὸν Οἶκον τοῦ Ὁσίου, τὸ Κάθισμα καὶ τὸ Θεοτοκίον· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον, Καταβασίαι *Χριστὸς γεννᾶται*, καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τοῦ Ὁσίου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ' καὶ τοῦ Ὁσίου δ', Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

4. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ δ' ἐκ τῆς ς' Ὠδῆς τοῦ κανόνος τοῦ Ὁσίου· μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Ὁσίου, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Ἡ Παρθένος σήμερον*, Ἀπόστολος τοῦ Ὁσίου καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ ΣΤ'.— Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Νικολάου ἐπισκόπου Μύρων τῆς Λυκίας τοῦ Θαυματουργοῦ.

1. Ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὴν α' Στάσιν τοῦ Ψαλτηρίου, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν εἰς ς' τὰ Προσόμοια *Μύροις παροικήσας αἰσθητῶς*[1], Δόξα *Ἱεραρχῶν τὴν*

(1). *Τὰ ἕτερα γ' Προσόμοια τὰ πρὸς τὸ* **Ποίοις εὐφημιῶν** *οὐ ψάλλονται διὰ τὸν λόγον ὅτι ὁ ποιητὴς αὐτῶν Νικόλαος Μαλαξὸς, Πρεσβύτερος Πελοποννήσιος καὶ Πρωτοϊερεὺς Ναυπλίου, ζήσας περὶ τὸ 1640, ἀνὴρ δαήμων τοῦ καθ' Ἕλληνας λόγου, ἐξ εὐλαβείας βουληθεὶς γερέσθαι καὶ μελουργὸς καὶ συντάξας ταῦτα, ὡς καὶ τὰ ἐν τῷ Ἑσπερινῷ τοῦ ἁγίου Γρηγορίου πρὸς τὸ* **Ποίοις εὐφημιῶν**, *καὶ τὰ τοῦ Χρυσοστόμου πρὸς τὸ* **Ὁ ἐξ Ὑψίστου κληθεὶς** *Προσόμοια, ἀπέστειλεν εἰς Ἐρετίαν καὶ συνεννοηθεὶς μετὰ τῶν ἐκεῖ τότε τυπογράφων, κατεχώρισεν αὐτὰ ἐν τοῖς ἐκδοθεῖσι τότε νέοις Μηναίοις αὐθαιρέτῳ γνώμῃ· ἐφ' ᾧ αὐτὸς μὲν παρὰ τῆς τότε ἐν Κωνσταντινουπόλει Ἱερᾶς Συνόδου διεκηρύχθη ὡς καινοτόμος, τὰ δὲ ἐκδοθέντα ᾄσματα αὐτοῦ καθωρίσθη ἔκτοτε ἵνα μὴ ψάλλωνται ἐν ταῖς τοῦ Χριστοῦ Ἐκκλησίαις.*

καλλονὴν, Καὶ νῦν *Σπήλαιον εὐτρεπίζου*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ γ' Στιχηρὰ Προσόμοια, Δόξα *Ἄνθρωπε τοῦ Θεοῦ*, Καὶ νῦν *Ἀνύμφευτε Παρθένε πόθεν ἥκεις*, Ἀπολυτίκιον *Κανόνα πίστεως*, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

2. Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν καὶ τὴν Λιτὴν, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ Ἀπολυτίκιον δὶς καὶ τὸ Θεοτοκίον ἅπαξ, τὸ Ψαλτήριον τῆς ἡμέρας καὶ ὁ Πολυέλεος· τὰ Καθίσματα κατὰ σειρὰν, οἱ Ἀναβαθμοὶ, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου, τὸ Προκείμενον *Τίμιος ἐναντίον Κυρίου*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον· εἶτα ὁ Ν' ψαλμὸς χῦμα, Δόξα *Ταῖς τοῦ Ἱεράρχου*, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου*, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς*, καὶ τὸ Ἰδιόμελον *Εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ*. Κανόνες ὁ τῆς Θεοτόκου *Ὠδὴν ἐπινίκιον*, καὶ ὁ τοῦ Ἁγίου *Ἀπόρῳ γλώττῃ καὶ χείλεσιν*, ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον, ἀφ' ς' τὸ Κοντάκιον, ὁ Οἶκος καὶ τὸ Μηνολόγιον τοῦ Ἁγίου, αἱ Καταβασίαι *Χριστὸς γεννᾶται*, εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, τὰ Ἐξαποστειλάρια τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους τὰ Προσόμοια εἰς δ', Δόξα *Σαλπίσωμεν ἐν σάλπιγγι ἁσμάτων*, Καὶ νῦν *Μακαρίζομέν σε*, Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον.

3. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ, Τροπάρια ἐκ τῆς γ' καὶ ς' Ὠδῆς τοῦ Κανόνος τοῦ Ἁγίου. Μετὰ τὴν Εἴσοδον, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Ἡ Παρθένος σήμερον*, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, τὸ Κοινωνικὸν *Εἰς μνημόσυνον* καὶ Ἀπόλυσις.

4. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ' καὶ τοῦ Ἁγίου ς' τὰ *Μύροις παροικήσας*, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τοῦ Ἁγίου. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Ἀνύμφευτε Παρθένε, πόθεν ἥκεις;* Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τοῦ Ἁγίου, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

5. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τρια-

δικὸς κανὼν, ἡ Λιτὴ τοῦ Ἁγίου καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*· εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον τῆς ἡμέρας καὶ ὁ Πολυέλεος τοῦ Ἁγίου· Καθίσματα λέγονται εἰς τὰς δύο πρώτας στιχολογίας μετὰ τὸ Ἀναστάσιμον τὰ τοῦ Ἁγίου μετὰ τῶν Θεοτοκίων· εἰς δὲ τὴν γ΄ στιχολογίαν τὸ τοῦ Ἁγίου μετὰ τοῦ Θεοτοκίου· τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου, καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τοῦ Ἁγίου· ἀπὸ γ΄ Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου χῦμα, εἶτα τὸ Κάθισμα τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον· ἀφ' ς΄ Κοντάκιον καὶ Οἶκος τοῦ Ἁγίου καὶ τὸ Μηνολόγιον. Αἱ Καταβασίαι *Χριστὸς γεννᾶται* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*. Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους ἀναστάσιμα Στιχηρὰ δ΄ καὶ τοῦ Ἁγίου δ΄. Δόξα *Σαλπίσωμεν ἐν σάλπιγγι ἁσμάτων*, Καὶ νῦν *Ὑπερευλογημένη*. Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

6. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ δ΄ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Κανόνος τοῦ Ἁγίου. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Ἁγίου, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Ἡ Παρθένος σήμερον*. Ἀπόστολος τοῦ Ἁγίου καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*. Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ Θ΄.—Ἡ σύλληψις τῆς ἁγίας Ἄννης τῆς μητρὸς τῆς Θεοτόκου, καὶ ἡ ἀνάμνησις τῶν Ἐγκαινίων.

1. Εἰ τύχοι ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία τῆς Ἁγίας μετὰ τῆς τῶν Ἐγκαινίων ψάλλονται ὡς εἰσι διατεταγμέναι ἐν τῷ Μηναίῳ.

2. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ ς΄ καὶ τῆς Ἁγίας δ΄. Δόξα τῆς Ἁγίας *Τὸ ἀπόρρητον τοῖς Ἀγγέλοις*, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρά. Δόξα Καὶ νῦν τῆς Ἁγίας *Σήμερον ἐκ ῥίζης τοῦ Δαβὶδ*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον καὶ τῆς Ἁγίας *Σήμερον τῆς ἀτεκνίας δεσμὰ διαλύονται* ἅπαξ καὶ Ἀπόλυσις.

3. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς Ἁγίας καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ ἀναστάσιμον Ἀπολυτίκιον δὶς, καὶ τὸ τῆς Ἁγίας ἅπαξ· εἶτα τὸ Ψαλτήριον τῆς ἡμέρας καὶ ὁ Πολυέλεος· τὰ δύο ἀναστάσιμα Καθίσματα καὶ ἓν τῆς Ἁγίας *Ὁ νέος οὐρανὸς*, αὖθις δύο Ἀναστάσιμα καὶ τῆς Ἁγίας *Ἀναβόησον Δαβίδ*· εἶτα τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τῆς Ἁγίας *Τὴν σύλληψιν σήμερον*· ἀπὸ γ΄ Ὠδῆς Κάθισμα *Χορὸς προφητικὸς*, Δόξα Καὶ νῦν *Ἰωακεὶμ ὁ Ἱερὸς καὶ ἡ Ἄννα*. Ἀφ' ς΄ Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων, αἱ Καταβασίαι *Χριστὸς γεννᾶται*, καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον καὶ τὸ τῆς Ἁγίας *Εἰσήκουσε τοῦ στεναγμοῦ* ἅπαξ. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ δ΄ τῆς Ἁγίας *Ἀπόθεσθε Ἀδὰμ*, Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

4. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ δ΄ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Κανόνος τῆς Ἁγίας. Μετὰ τὴν Εἴσοδον τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῆς Ἁγίας, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Ἑορτάζει σήμερον ἡ Οἰκουμένη* (ζήτει ἀφ' ς΄ Ὠδῆς). Ἀπόστολος τῆς Ἁγίας καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε τὸν Κύριον*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Κυριακὴ τῶν ἁγίων Προπατόρων.

Σημείωσις. Τῇ ἀπὸ τῆς ΙΑ΄ τοῦ ἐνεστῶτος μηνὸς μέχρι τῆς ΙΖ΄ τυχούσῃ Κυριακῇ ψάλλεται ἡ Ἀκολουθία τῶν ἁγίων Προπατόρων ὡς ἑφεξῆς·

1. Τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ ς΄ καὶ τῶν Προπατόρων δ΄, Δόξα *Τοὺς πρὸ τοῦ νόμου Πατέρας*, Καὶ

νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα *Τῶν Προπατόρων τὸ σύστημα*, Καὶ νῦν *Ἀσπόρως ἐκ θείου Πνεύματος*. Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τὸ *Ἐν πίστει τοὺς Προπάτορας ἐδικαίωσας* καὶ Ἀπόλυσις.

2. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῶν Ἁγίων καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ ἀναστάσιμον Ἀπολυτίκιον δὶς καὶ τὸ τῶν Ἁγίων ἅπαξ, τὸ Ψαλτήριον τῆς ἡμέρας καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τῶν Ἁγίων *Πατράσιν αἶνον προσάξωμεν*· ἀπὸ γ' Ὠδῆς ἡ Ὑπακοὴ *Εἰς δρόσον τοῖς παισὶ*, καὶ τὸ ἀναστάσιμον Κοντάκιον· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τῶν Προπατόρων, τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας καὶ τὸ Ὑπόμνημα τῆς Κυριακῆς τῶν Προπατόρων, αἱ Καταβασίαι *Χριστὸς γεννᾶται* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τῶν Προπατόρων καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, ἀναστάσιμα Στιχηρὰ δ' καὶ τῶν Προπατόρων δ' *Πάντες τὴν τῶν σεπτῶν*. Δόξα *Δεῦτε ἅπαντες*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

3. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τῶν Προπατόρων δ'. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον τῶν Προπατόρων καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ. Κοντάκιον *Ἡ Παρθένος σήμερον*, ὁ Ἀπόστολος *Ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν* (ζήτει Κυριακ. ΚΘ') καὶ τὸ Εὐαγγέλιον *Ἄνθρωπός τις ἐποίησε δεῖπνον μέγα*. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ ΙΒ'.—Τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Σπυρίδωνος τοῦ Θαυματουργοῦ.

1. Εἰ τύχοι ἐν πάτῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία ψάλλεται ὡς ἐστι διατεταγμένη ἐν τῷ Μηναίῳ.

2. Εἰ τύχοι τῇ Κυριακῇ τῶν Προπατόρων, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ', τῶν Προπατόρων γ' καὶ τοῦ Ἁγίου γ', Δόξα *Τοὺς πρὸ τοῦ νόμου Πατέρας*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Ἁγίου *Ἱεραρχῶν τὸ θεῖον κειμήλιον*, Καὶ νῦν *Τῶν Προπατόρων τὸ σύστημα*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τοῦ Ἁγίου καὶ τῶν Προπατόρων *Ἐν πίστει τοὺς Προπάτορας* καὶ Ἀπόλυσις.

3. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἐν πίστει τοὺς Προπάτορας* καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Ἁγίου καὶ τῶν Προπατόρων. Εἶτα τὸ Ψαλτήριον τῆς ἡμέρας καὶ ὁ Ἄμωμος, τὰ Καθίσματα τῆς Ὀκτωήχου κατὰ σειρὰν καὶ ἡ γ' Στιχολογία τοῦ Ἁγίου, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος, ὁ τῶν Προπατόρων καὶ ὁ τοῦ Ἁγίου· ἀπὸ γ' Ὠδῆς ἡ Ὑπακοὴ *Εἰς δρόσον τοῖς παισὶ* καὶ τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου χῦμα· ἀφ' ς' τὸ Κοντάκιον καὶ Οἶκος τῶν Προπατόρων, τὸ Μηνολόγιον τῆς ἡμέρας, εἶτα τῶν Προπατόρων, αἱ Καταβασίαι *Χριστὸς γεννᾶται* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τῶν Προπατόρων, τοῦ Ἁγίου καὶ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ', τῶν Προπατόρων γ' καὶ τοῦ Ἁγίου γ', Δόξα *Δεῦτε ἅπαντες πιστοὶ παγηγυρίσωμεν*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. καὶ τὸ *Σήμερον σωτηρία*.

4. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τῶν Προπατόρων δ'. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῶν Προπατόρων, τοῦ Ἁγίου καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ. Κοντάκιον *Ἡ Παρθένος σήμερον*, ὁ Ἀπόστολος τοῦ Ἁγίου, καὶ τὸ Εὐαγγέλιον τῆς Κυριακῆς τῶν Προπατόρων. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ ΙΕ'.—Τοῦ ἁγίου ἱερομάρτυρος Ἐλευθερίου.

1. Εἰ τύχοι ἡ μνήμη τοῦ Ἁγίου ἐν ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία ψάλλεται κατὰ τὴν ἐν τῷ Μηναίῳ διάταξιν.

2. Εἰ τύχοι δὲ τῇ Κυριακῇ τῶν Προπατόρων, τὴν διάταξιν ὅρα ἐν τῇ μνήμῃ τοῦ Ἁγίου Σπυρίδωνος § 2, 3, 4.

Τῇ ΙΖ'.—Τοῦ ἁγίου προφήτου Δανιὴλ καὶ τῶν ἁγίων τριῶν Παίδων.

1. Εἰ τύχοι ἡ μνήμη αὐτῶν ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία αὐτῶν ψάλλεται κατὰ τὴν ἐν τῷ Μηναίῳ διάταξιν.

2. Εἰ δὲ τύχοι τῇ Κυριακῇ τῶν Προπατόρων, ἡ τῶν Ἁγίων Ἀκολουθία καταλιμπάνεται· διότι καὶ οἱ Ἅγιοι οὗτοι κατατάττονται ἐν τῷ Χορῷ τῶν Προπατόρων, ὧν ἡ Ἀκολουθία ψάλλεται ταύτῃ τῇ Κυριακῇ.

Τῇ Κ'.—Ἡ μνήμη τοῦ ἁγίου ἱερομάρτυρος Ἰγνατίου καὶ Προεόρτια τῶν Γενεθλίων τοῦ Σωτῆρος ἡμῶν.

1. Εἰ τύχοι ἡ μνήμη τοῦ Ἁγίου ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ προεόρτιος Ἀκολουθία μετὰ τῆς τοῦ Ἁγίου ψάλλεται κατὰ τὴν ἐν τῷ Μηναίῳ διάταξιν.

2. Εἰ τύχοι τῇ Κυριακῇ πρὸ τῆς Χριστοῦ Γεννήσεως, ἡ Ἀκολουθία τοῦ Ἁγίου μετατίθεται καὶ προψάλλεται τῷ Σαββάτῳ, ἤτοι τῇ ΙΘ' τοῦ μηνὸς οὕτω· Τῇ Παρασκευῇ ἑσπέρας εἰς τὸ *Κύριε ἐκέκραξα*, Προσόμοια τοῦ ἁγίου Ἰγνατίου γ' καὶ γ' τοῦ ἁγίου Βονιφατίου. Δόξα *Θεοφόρε Ἰγνάτιε*, Καὶ νῦν *Ὁ Βασιλεὺς τῶν οὐρανῶν*. Εἴτοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον τῆς ἡμέρας. Εἰς τὰ Ἀπόστιχα τὰ τῆς Παρακλητικῆς Στιχηρὰ, Δόξα *Ὦ τῆς στερρᾶς καὶ ἀδαμαντίνου σου ψυχῆς*, Καὶ νῦν *Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη*, Ἀπολυτίκια, τὸ τοῦ ἁγίου Ἰγνατίου καὶ τὸ τοῦ ἁγίου Βονιφατίου, τὸ Θεοτοκίον *Τὸ ἀπ' αἰῶνος ἀπόκρυφον* καὶ Ἀπόλυσις.

3. Τῷ Σαββάτῳ πρωΐ, μετὰ τὴν συνήθη Ἀκολουθίαν τοῦ Ὄρθρου, οἱ Κανόνες χῦμα, εἰς τὴν η' Ὠδὴν ψάλλεται ὁ Εἱρμὸς καὶ στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, τὰ Ἐξαποστειλάρια ἀμφότερα καὶ τὸ Θεοτοκίον. Οἱ Αἶνοι τῆς Ὀκτωήχου *Σοὶ δόξα πρέπει χῦμα*. Ἀπόστιχα τῆς Ὀκτωήχου, Δόξα *Στήλη ἔμψυχος*, Καὶ νῦν *Ἁμαρτωλῶν τὰς δεήσεις*, *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ*, τὸ Τρισάγιον καὶ τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι* κτλ. Μετὰ τὴν Εἴσοδον, Ἀπολυτίκια *Καὶ τρόπων μέτοχος*. . . *Ὁ μάρτυς σου Κύριε* καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ, Κοντάκιον *Ὡς ἀπαρχὰς τῆς φύσεως*, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τοῦ Σαββάτου πρὸ τῆς Χρ. Γεννήσεως, τὸ Κοινωνικὸν *Μακάριοι οὓς ἐξελέξω*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Κυριακὴ πρὸ τῆς Χριστοῦ Γεννήσεως.

Σημείωσις. Τῇ ἀπὸ τῆς ιη' μέχρι τῆς κδ' τοῦ αὐτοῦ μηνὸς Κυριακῇ ψάλλεται ἡ Ἀκολουθία τῶν ἁγίων Πατέρων ὡς ἀκολούθως.

ΠΕΡΙΠΤΩΣΕΙΣ

Α'.

1. Εἰ τύχοι ἡ πρὸ τῆς Χ. Γεννήσεως Κυριακὴ τῇ ιή' ἢ τῇ ιθ' τοῦ μηνὸς, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ ς' καὶ τῶν Πατέρων *Τὰ τῶν Πατέρων σήμερον πιστοὶ δ'*, Δόξα *Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴτοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα *Χαίρετε προφῆται τίμιοι*, Καὶ νῦν *Ὦ θαύματος καινοῦ*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον *Μεγάλα τὰ τῆς πίστεως κατορθώματα*, Θεοτοκίον *Πάντα ὑπὲρ ἔννοιαν* καὶ Ἀπόλυσις.

2. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν ὁ Τριαδικὸς κανὼν καὶ τὸ Δόξα *Βολίδες ἀστράπτοντες*, Καὶ νῦν *Ἁμαρτωλῶν τὰς δεήσεις*, τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, τὸ Ἀπολυτίκιον *Μεγάλα τὰ τῆς πίστεως κατορθώματα* καὶ ὁ Ἑξάψαλμος. Εἰς

τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον τῆς ἡμέρας καὶ ὁ Πολυέλεος, τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον· ὁ Κανὼν τοῦ Μηναίου *Κύματι θαλάσσης*, ὁ στίχος τοῦ α΄ μετὰ τὸν Εἱρμὸν Τροπαρίου *Δόξα τῇ ἁγίᾳ Ἀναστάσει σου Κύριε*, τῶν δὲ λοιπῶν *Ἅγιοι τοῦ Θεοῦ*, εἰς τὰ τελευταῖα δύο Τροπάρια Δόξα Καὶ νῦν· ἀπὸ γ΄ Ὠδῆς ἡ Ὑπακοὴ *Ἄγγελος Παίδων ἐδρόσισε κάμινον* καὶ τὸ ἀναστάσιμον Κοντάκιον χῦμα· ἀφ΄ ς΄ τὸ Κοντάκιον καὶ ὁ Οἶκος τῶν Πατέρων, τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας καὶ τὸ ὑπόμνημα τῶν Πατέρων, αἱ Καταβασίαι *Χριστὸς γεννᾶται* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τῶν Πατέρων καὶ τὸ Θεοτοκίον τῆς Ὀκτωήχου. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ τῶν Πατέρων δ΄, Δόξα *Τῶν νομικῶν διδαγμάτων ὁ σύλλογος*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

3. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Κανόνος τῶν Πατέρων δ΄. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῶν Πατέρων *Μεγάλα τὰ τῆς πίστεως κατορθώματα* καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ, τὸ Κοντάκιον *Ἡ Παρθένος σήμερον*, ὁ Ἀπόστολος *Ἀδελφοὶ πίστει παρῴκησεν Ἀβραὰμ* καὶ τὸ Εὐαγγέλιον *Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ*. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Β΄.

4. Εἰ τύχοι ἡ πρὸ τῆς Χριστοῦ Γεννήσεως Κυριακὴ ἀπὸ τῆς κ΄ μέχρι τῆς κγ΄ τοῦ μηνὸς, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ΄, Προεόρτια *Παρθένε παράμωμε Θεοῦ* γ΄ καὶ γ΄ τῶν Πατέρων *Τὰ τῶν Πατέρων σήμερον πιστοὶ*, Δόξα *Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν*, Καὶ νῦν τὸ Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τῶν Πατέρων. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα *Χαίρετε προφῆται τίμιοι*, Καὶ νῦν *Ἰδοὺ καιρὸς ἤγγικε*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τῶν Πατέρων, τὸ Προεόρτιον *Ἑτοιμάζου Βηθλεὲμ* καὶ Ἀπόλυσις.

5. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν ὁ Τριαδικὸς κανὼν καὶ τὸ Δόξα τῆς Λιτῆς *Βολίδες ἀστράπτοντες*, Καὶ νῦν Προεόρτιον *Ἄκουε οὐρανὲ*, τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἑτοιμάζου Βηθλεὲμ* καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον τῆς ἡμέρας καὶ ὁ Πολυέλεος, Καθίσματα ἀναστάσιμα δύο καὶ ἓν προεόρτιον *Τῶν Προφητῶν αἱ ῥήσεις* καὶ αὖθις Ἀναστάσιμα δύο καὶ ἕτερον Προεόρτιον *Αὐλῶν Ποιμενικῶν* (ζήτει ἀμφότερα τῇ κδ΄ τοῦ μηνός)· εἶτα τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον· ὁ Κανὼν τῶν Πατέρων *Κύματι θαλάσσης*, μετὰ δὲ τὸν Εἱρμὸν ἑκάστης Ὠδῆς, λέγεται Στίχος *Δόξα τῇ ἁγίᾳ Ἀναστάσει σου Κύριε*, εἰς τὰ λοιπὰ Τροπάρια *Ἅγιοι τοῦ Θεοῦ* καὶ εἰς τὰ τελευταῖα δύο Δόξα Καὶ νῦν· ἀπὸ γ΄ Ὠδῆς ἡ Ὑπακοὴ *Ἄγγελος Παίδων* καὶ τὸ ἀναστάσιμον Κοντάκιον χῦμα, ἀφ΄ ς΄ τὸ Κοντάκιον *Εὐφραίνου Βηθλεὲμ* καὶ ὁ Οἶκος *Τῆς σῆς Παρθένε κυήσεως*, τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας καὶ τὸ Ὑπόμνημα τῆς Κυριακῆς, αἱ Καταβασίαι *Χριστὸς γεννᾶται* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τῶν Πατέρων καὶ τὸ Προεόρτιον. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ΄ καὶ τῶν Πατέρων δ΄, Δόξα *Τῶν νομικῶν διδαγμάτων ὁ σύλλογος*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

6. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Κανόνος τῶν Πατέρων δ΄. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ Προεόρτιον, τῶν Πατέρων καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ, Κοντάκιον *Ἡ Παρθένος σήμερον*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς πρὸ τῆς Χριστοῦ Γεννήσεως. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Γ΄.

7. Εἰ τύχοι ἡ πρὸ τῆς Χριστοῦ Γεννήσεως Κυριακὴ τῇ κδ΄ τοῦ μηνὸς, ἐν τῷ Ἑσπερινῷ οὐδὲν τῶν Ἀναστασίμων ψάλλομεν, ἀλλὰ

τὰ τῶν Πατέρων μετὰ τῶν Προεορτίων οὕτω· Μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Προσόμοια τῶν Πατέρων *Τὰ τῶν Πατέρων σήμερον πιστοὶ* εἰς δ΄, καὶ δ΄ Προεόρτια *Προεορτάσωμεν λαοὶ Χριστοῦ τὰ γενέθλια* (ζήτει τῇ κ΄ τοῦ μηνός). Δόξα *Δανιὴλ ἀνὴρ ἐπιθυμιῶν*, Καὶ νῦν *Σπήλαιον εὑτρεπίζου*. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ γ΄ Προσόμοια *Παρθένε παράμωμε Θεοῦ* (ζήτει ἐν τῷ Ἑσπερινῷ), οἱ Στίχοι *Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέως*, καὶ ὁ ἕτερος *Κύριε εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην, Κύριε κατενόησα τὰ ἔργα σου καὶ ἐξέστην*. Δόξα *Χαίρετε Προφῆται τίμιοι*, Καὶ νῦν *Ἰδοὺ καιρὸς ἤγγικε τῆς σωτηρίας ἡμῶν*. Ἀπολυτίκια τῶν Πατέρων *Μεγάλα τὰ τῆς πίστεως κατορθώματα*, τὸ Προεόρτιον *Ἀπεγράφετό ποτε* καὶ Ἀπόλυσις.

8. Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ἀντὶ τοῦ Τριαδικοῦ κανόνος ψάλλεται ὁ μετὰ τὸν Ἑσπερινὸν τῆς κδ΄ κείμενος Κανὼν *Κύματι θαλάσσης*, εἶτα Δόξα *Βολίδες ἀστράπτοντες*, Καὶ νῦν *Ἄκουε οὐρανὲ* (ζήτει ἀμφότερα ἐν τῇ ιη΄ τοῦ μηνός)· εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἀπεγράφετό ποτε* καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ ἀναστάσιμον τοῦ ἤχου Ἀπολυτίκιον, τῶν Πατέρων, τὸ Προεόρτιον, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος. Καθίσματα εἰς τὴν α΄ Στιχολογίαν Ἀναστάσιμα δύο καὶ τὸ Προεόρτιον *Τῶν Προφητῶν αἱ ῥήσεις*· εἰς τὴν β΄ Στιχολογίαν αὖθις Ἀναστάσιμα δύο καὶ τὸ Προεόρτιον *Αὐλῶν ποιμενικῶν* (ζήτει ἀμφότερα ἐν τῇ κδ΄)· εἶτα ἡ Αἴτησις καὶ ἡ Ὑπακοὴ τοῦ ἤχου, οἱ Ἀναβαθμοὶ, τὸ Προκείμενον, ὁ Κανὼν *Κύματι θαλάσσης*. Εἰς τὸ πρῶτον Τροπάριον ἑκάστης Ὠδῆς μετὰ τὸν Εἱρμὸν λέγεται στίχος *Δόξα τῇ ἁγίᾳ Ἀναστάσει σου Κύριε*. Εἰς δὲ τὰ λοιπὰ *Ἅγιοι τοῦ Θεοῦ* καὶ ὁ προεόρτιος Κανὼν *Χριστὸν σαρκὶ νηπιάσαντα*, οὗ ὁ Στίχος *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι*· ἀπὸ γ΄ Ὠδῆς ἡ Ὑπακοὴ *Ἄγγελος Παίδων ἐδρόσισε κάμινον*· ἀφ΄ ς΄ Κοντάκιον *Χειρόγραφον εἰκόνα* καὶ ὁ Οἶκος *Ἔκτεινόν σου τὴν χεῖρα*. Εἶτα τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας καὶ τὸ ὑπόμνημα τῆς Κυριακῆς· αἱ Καταβασίαι *Χριστὸς γεννᾶται* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον, τῶν Πατέρων *Πατέρων θείων*

σήμερον καὶ τὸ Προεόρτιον *Εὐφραίνου Βηθλεὲμ καὶ σύ*. Εἰς τοὺς Αἴνους ἀναστάσιμα Στιχηρὰ δ΄ καὶ τὰ τροπάρια *Ἀρόν σου τὴν φωνὴν ἀληθῶς* εἰς δ΄. Δόξα *Τῶν νομικῶν διδαγμάτων ὁ σύλλογος*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

9. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ, Τροπάρια ἐκ τῆς γ΄ Ὠδῆς τοῦ Κανόνος τῶν Πατέρων, καὶ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Προεορτίου. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῶν Πατέρων, τὸ Προεόρτιον καὶ τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ. Κοντάκιον *Ἡ Παρθένος σήμερον*· Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς πρὸ τῆς Χριστοῦ Γεννήσεως. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε τὸν Κύριον, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ ΚΕ΄.—Ἡ κατὰ σάρκα Γέννησις τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΠΕΡΙΠΤΩΣΕΙΣ

Α΄.

1. Εἰ τύχοι ἡ ἑορτὴ ἐν ἡμέρᾳ Παρασκευῇ, τῇ Πέμπτῃ πρωὶ μετὰ τὴν τοῦ Ὄρθρου ἐνδιάτακτον Ἀκολουθίαν, ψάλλεται ἡ Ἀκολουθία τῶν Μεγάλων Ὡρῶν καὶ τοῦ Μεγάλου Ἑσπερινοῦ μετὰ τῆς Λειτουργίας τοῦ Μεγάλου Βασιλείου κατὰ τὴν ἑξῆς διάταξιν·

Ὥρα Α΄.

2. Μετὰ τὴν Ἀκολουθίαν τοῦ Ὄρθρου, περὶ τὴν α΄ ὥραν τῆς πρωΐας κατέρχεται ὁ Πατριάρχης (ἢ ὁ Ἀρχιερεὺς) ἐν τῷ Ναῷ καὶ εὐλογήσαντος τοῦ Ἱερέως ἄρχεται ὁ Πατριάρχης τὸ *Δόξα σοι ὁ Θεὸς ἡμῶν Δόξα σοι . . . Βασιλεῦ Οὐράνιε Παράκλητε . . .* κτλ. ὁ Ἀναγνώστης λέγει το Τρισάγιον, μετὰ δὲ τὸ *Ὅτι σοῦ ἐστιν*, τὸ *Κύριε ἐλέησον* ιβ΄. Δόξα Καὶ νῦν *Δεῦτε προσκυνήσωμεν* καὶ εὐθὺς τοὺς ψαλμοὺς τῆς Α΄ ὥρας· εἰς τὸ τέλος Δόξα Πατρὶ, τὸ Τροπάριον *Ἀπεγράφετό ποτε*, Καὶ νῦν καὶ ἀεὶ *Τί σὲ καλέσωμεν, ὦ Κεχαριτωμένη*; καὶ ἄρχεται ὁ α΄ Χορὸς ψάλλειν τὸ Ἰδιόμελον *Βηθλεὲμ ἑτοιμάζου*. Εἶτα ὁ β΄ Χορὸς τὸν Στίχον *Ὁ Θεὸς ἀπὸ*

Θαιμὰρ ἤξει, καὶ ὁ Ἅγιος ἐξ ὄρους κατασκίου δασέως καὶ τὸ Ἰδιόμελον *Νῦν προφητικὴ πρόρρησις*, ὁ α΄ Χορὸς Δόξα, ὁ β΄ Καὶ νῦν, ὁ α΄ *Τάδε λέγει Ἰωσὴφ πρὸς τὴν Παρθένον*· μετὰ τοῦτο, ὁ α΄ Κανονάρχης ἀναγινώσκει τὴν Προφητείαν καὶ τὸν Ἀπόστολον, εἶτα ὁ Διάκονος *Σοφία ὀρθοὶ* κτλ. ὁ δὲ Ἱερεὺς πρὸ τῆς ὡραίας Πύλης ἀναγινώσκει τὸ Ἱερὸν Εὐαγγέλιον· μετὰ τὸ τέλος τοῦ Εὐαγγελίου ὁ Ἀναγνώστης εὐθὺς λέγει *Τὰ διαβήματά μου κατεύθυνον* καὶ τὸ Τρισάγιον, ὁ Ἱερεὺς *Ὅτι σοῦ ἐστιν* καὶ τὸ Κοντάκιον *Ἡ Παρθένος σήμερον*· τὸ *Κύριε ἐλέησον μ΄*, *Ὁ ἐν παντὶ καιρῷ*, τὸ *Κύριε ἐλέησον γ΄*. Δόξα Πατρὶ, Καὶ νῦν καὶ ἀεὶ, *Τὴν τιμιωτέραν τῶν Χερουβὶμ*, *Ἐν ὀνόματι Κυρίου*, ὁ Πατριάρχης τὸ *Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς* ἐπισυνάπτων καὶ τὴν εὐχὴν *Χριστὲ τὸ φῶς τὸ ἀληθινὸν*, εἶτα ἄρχεται εὐθὺς ἡ Γ΄ Ὥρα.

Σημ. Ψαλλομένων τῶν Ἰδιομέλων τῆς Γ΄ Ὥρας, ὁ Μ. Ἀρχιδιάκονος (ἢ ὁ Διάκονος, ἢ ἐν ἐλλείψει τούτων ὁ ἀναγνοὺς τὸ Ἱερὸν Εὐαγγέλιον Ἱερεὺς), ἐξέρχεται τῆς βορείου Πύλης τοῦ Ἱεροῦ Βήματος ἐνδεδυμένος μανδύαν μέλανα μετὰ θυμιατοῦ (κατζίου) προπορευομένου Λαμπαδούχου, καὶ θυμιᾷ τὸν λαόν. Τοῦτο ἐπαναλαμβάνεται καὶ εἰς τὰς λοιπὰς δύο ὥρας τὴν ς΄ καὶ Θ΄ ὑπὸ ἑτέρων Διακόνων[2].

Ὥρα Γ΄.

3. Ὁ Ἀναγνώστης, μετὰ τὸ *Δεῦτε προσκυνήσωμεν*, ἀναγινώσκει τοὺς ψαλμοὺς τῆς Γ΄ Ὥρας, καὶ μετὰ τὸ *Θεοτόκε σὺ εἶ ἡ ἄμπελος*, ἄρχεται ὁ β΄ Χορὸς ψάλλειν τὸ Ἰδιόμελον *Οὗτος ὁ Θεὸς ἡμῶν*. Εἶτα ὁ α΄ Χορὸς τὸν Στίχον *Κύριε εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην* καὶ τὸ Ἰδιόμελον *Πρὸ τῆς γεννήσεως τῆς σῆς*, ὁ β΄ Χορὸς Δόξα, ὁ α΄ Καὶ νῦν, ὁ β΄ τὸ Ἰδιόμελον *Ἰωσὴφ εἰπὲ ἡμῖν*. Εἶτα λέγεται ὑπὸ τοῦ β΄ Κανονάρχου ἡ Προφητεία καὶ ὁ Ἀπόστολος, καὶ ὑπὸ τοῦ Ἱερέως τὸ Εὐαγγέλιον κτλ. κατὰ τὴν ἀνωτέρω ἐν § 2 διάταξιν· μετὰ δὲ τὴν εὐχὴν τῆς Γ΄ Ὥρας *Δέσποτα Θεὲ*, ἄρχεται ἡ ς΄ Ὥρα.

Ὥρα Ϛ΄.

4. Ὁ Ἀναγνώστης, μετὰ τὸ *Δεῦτε προσκυνήσωμεν*, ἀναγινώσκει τοὺς ψαλμοὺς τῆς ς΄ Ὥρας καὶ μετὰ τὸ *Ὅτι οὐκ ἔχομεν παρ-*

2. *Ἀπόντος Ἀρχιερέως, θυμιᾷ ὁ Ἱερεὺς ἐνδεδυμένος φελώνιον.*

ρησίαν, ἄρχεται ὁ α΄ Χορὸς ψάλλειν τὸ Ἰδιόμελον *Δεῦτε πιστοὶ ἐπαρθῶμεν ἐνθέως*, εἶτα ὁ β΄ Χορὸς τὸν Στίχον *Κύριε εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην* καὶ τὸ Ἰδιόμελον *Ἄκουε Οὐρανὲ*, ὁ α΄ Χορὸς Δόξα Καὶ νῦν, ὁ β΄ καὶ ὁ α΄ Χορὸς αὖθις τὸ Ἰδιόμελον *Δεῦτε Χριστοφόροι λαοὶ*, μετὰ τοῦτο ὁ Κανονάρχης τὴν Προφητείαν καὶ τὸν Ἀπόστολον, καὶ ὁ Ἱερεὺς τὸ Εὐαγγέλιον· μετὰ δὲ τὴν Εὐχὴν τῆς ς΄ Ὥρας *Θεὲ καὶ Κύριε τῶν δυνάμεων*, ἄρχεται ἡ Θ΄ Ὥρα.

Ὥρα Θ΄.

5. Ὁ Ἀναγνώστης *Δεῦτε προσκυνήσωμεν γ΄* καὶ τοὺς ψαλμοὺς τῆς Θ΄ Ὥρας· μετὰ δὲ τὸ *Ὁ δι' ἡμᾶς γεννηθείς*, ἄρχεται ὁ β΄ Χορὸς ψάλλειν τὸ Ἰδιόμελον *Ἐξεπλήττετο ὁ Ἡρώδης*, εἶτα ὁ α΄ Χορὸς τὸν Στίχον *Ὁ Θεὸς ἀπὸ Θαιμὰν ἥξει* καὶ τὸ Ἰδιόμελον *Ὅτε Ἰωσὴφ, Παρθένε*, τὸ τέλος τοῦ Ἰδιομέλου *Σὺν Πατρὶ καὶ ἁγίῳ Πνεύματι* λαμβάνει ὁ β΄ Χορός· ὁ δὲ α΄ ἄρχεται τοῦ *Δόξα Πατρὶ*, ὁ β΄ Χορὸς λέγει τὸ *Καὶ νῦν*, ὁ δὲ Κανονάρχης ἱστάμενος ἐν τῷ μέσῳ τοῦ Ναοῦ καὶ βλέπων πρὸς ἀνατολὰς, ἀναγινώσκει εὐλαβῶς καὶ κατὰ τὸ ὕφος τοῦ Εὐαγγελίου τὸ Ἰδιόμελον *Σήμερον γεννᾶται ἐκ Παρθένου ὁ δρακὶ τὴν πᾶσαν ἔχων κτίσιν*, ὃ ἐπαναλαμβάνει τρὶς, εἶτα ἐξακολουθεῖ *Ῥάκει καθάπερ βροτὸς* κτλ. τὸ δὲ *Προσκυνοῦμέν σου τὴν γέννην Χριστὲ* ἐπαναλαμβάνει ἐπίσης τρὶς, τὸ *Δεῖξον ἡμῖν καὶ τὰ θεῖά σου Θεοφάνεια ἅπαξ*, καὶ τότε ἄρχονται οἱ Χοροὶ ψάλλειν τὸ *Σήμερον γεννᾶται ἐκ Παρθένου ἀργῶς* καὶ μετὰ μέλους· μετὰ τοῦτο ὁ Κανονάρχης λέγει τὴν Προφητείαν καὶ τὸν Ἀπόστολον καὶ ὁ Ἱερεὺς τὸ Εὐαγγέλιον· μετὰ δὲ τὴν Εὐχὴν τῆς Θ΄ *Δέσποτα Κύριε Ἰησοῦ Χριστὲ*, γίνεται Ἀπόλυσις[3], καὶ ἄρχεται ὁ Μέγας Ἑσπερινὸς μετὰ τῆς Λειτουργίας τοῦ Μεγάλου Βασιλείου.

---

3. *Μετὰ τὴν Εὐχὴν τῆς Θ΄ ἡ τάξις ἀπαιτεῖ τὰ Τυπικὰ, χῦμα, ἤτοι τὰ:* **Εὐλόγει ἡ ψυχή μου, Αἶνει ἡ ψυχή μου** *καὶ τοὺς Μακαρισμοὺς, καὶ τελευταῖον τὴν Ἀπόλυσιν· ἀλλ' ἐπειδὴ χάριν συντομίας συνειθίσθη ἤδη ἡ παράλειψις αὐτῶν, διὰ τοῦτο ἐσημειώθη ἀνωτέρω μετὰ τὴν Εὐχὴν ἡ Ἀπόλυσις.*

Ὁ Μέγας Ἑσπερινὸς καὶ ἡ Λειτουργία τοῦ Μεγάλου Βασιλείου.

6. Ὁ Διάκονος *Εὐλόγησον Δέσποτα*, ὁ Ἱερεὺς *Εὐλογημένη ἡ βασιλεία*, ὁ Πατριάρχης (ἢ ὁ Ἀρχιερεὺς) τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὰ δ΄ Ἰδιόμελα *Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ* εἰς ς΄, Δόξα Καὶ νῦν *Αὐγούστου μοναρχήσαντος ἐπὶ τῆς γῆς*, Εἴσοδος μετὰ Εὐαγγελίου, *Φῶς ἱλαρὸν* καὶ εὐθὺς ὁ Κανονάρχης τὸ Α΄ Ἀνάγνωσμα *Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν*, μετὰ τὸ τέλος ἄρχεται ὁ α΄ Χορὸς ψάλλειν τὸ Τροπάριον *Λαθὼν ἐτέχθης* καὶ ὁ β΄ Χορὸς ἐπαναλαμβάνει *Καὶ Μάγους σοι προσήνεγκεν*· τὸ αὐτὸ ἐπαναλαμβάνουσιν ἑκατέρωθεν οἱ Χοροὶ, ἕως οὗ ὁ Κανονάρχης πληρώσῃ τοὺς Στίχους τοῦ ψαλμοῦ· εἶτα ὁ α΄ Χορὸς Δόξα Καὶ νῦν καὶ ψάλλει αὖθις τὸ Τροπάριον ὁλόκληρον. Ἀκολούθως ὁ β΄ Κανονάρχης ἀναγινώσκει τὸ Ζ΄ Ἀνάγνωσμα *Παιδίον ἐγεννήθη ἡμῖν*, μετὰ τὸ τέλος ὁ β΄ Χορὸς ψάλλει τὸ Τροπάριον *Ἀρέτειλας Χριστὲ ἐκ Παρθένου*, τὸ τέλος δὲ καὶ τούτου *Μάγους ὁδηγήσας* ἐπαναλαμβάνεται ὑπὸ τῶν δύο Χορῶν, ἕως οὗ ὁ Κανονάρχης πληρώσῃ τοὺς Στίχους τοῦ ψαλμοῦ ὡς ἀνωτέρω· εἶτα ὁ β΄ Χορὸς Δόξα Καὶ νῦν ἐπαναλαμβάνων ὁλόκληρον τὸ Τροπάριον, καὶ ὁ α΄ Κανονάρχης ἀναγινώσκει τὸ Η΄ Ἀνάγνωσμα *Προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ*· μετὰ ταῦτα ἡ μικρὰ Συναπτὴ *Τοῦ Κυρίου δεηθῶμεν* κτλ. καὶ ψάλλεται ὁ Τρισάγιος ὕμνος, ὁ Ἀπόστολος, τὸ Ἀλληλούϊα καὶ τὸ Εὐαγγέλιον ἀπ΄ Ἄμβωνος ὑπὸ τοῦ Διακόνου· μετὰ τὸ τέλος ὁ Πατριάρχης (ἢ ὁ Ἀρχιερεὺς) εὐλογεῖ τὸν λαὸν, τῶν Χορῶν ψαλλόντων *Εἰς πολλὰ ἔτη*· εἰδεμὴ, λέγεται τὸ *Δόξα σοι, Κύριε, δόξα σοι* καὶ καθεξῆς ἡ Λειτουργία τοῦ Μ. Βασιλείου, Κοινωνικὸν *Αἰνεῖτε τὸν Κύριον, Εἴδομεν τὸ φῶς*[4] καὶ ἡ Ἀπόλυσις μετὰ τοῦ *Ὁ ἐν σπηλαίῳ γεννη-*

4. *Τὸ τοῦ Κωνσταντίνου Τυπικὸν ὁρίζει διὰ τὴν ἡμέραν ταύτην τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς* **Ἡ γέννησίς σου Χριστὲ . . .** *ἀντὶ τοῦ* **Εἴδομεν τὸ φῶς**· *ἀλλ' οὔτε τὸ ἀρχαῖον Τυπικὸν, οὔτε αἱ ἐν τῷ Μηναίῳ τυπικαὶ διατάξεις ἀναφέρουσι τοιοῦτό τι· διὸ καὶ ἐνεκρίθη ἵνα ψάλληται τὸ* **Εἴδομεν τὸ φῶς**, *ὅπερ μόνον μετὰ τὴν Λειτουργίαν τῆς κυρίας ἡμέρας ἑκάστης Δεσποτικῆς ἑορτῆς ἀντικαθιστᾶται διὰ τοῦ Ἀπολυτικίου.*

θεὶς καὶ ἐν φάτνῃ ἀνακλιθεὶς διὰ τὴν ἡμῶν σωτηρίαν Χριστὸς ὁ ἀληθινός . . .

7. Τῇ Παρασκευῇ εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν΄ ψαλμὸν, ἡ Λιτὴ καὶ τὰ Ἰδιόμελα Ἀπόστιχα (ὡς μὴ ψαλέντα χθὲς), εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἡ γέννησίς σου* καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ Ἀπολυτίκιον *Ἡ γέννησίς σου* ἐκ τρίτου, εἶτα τὸ Ψαλτήριον τῆς ἡμέρας καὶ ὁ Πολυέλεος *Αἰνεῖτε τὸ ὄνομα Κυρίου*, τὰ γ΄ Καθίσματα κατὰ σειρὰν, οἱ Ἀναβαθμοὶ, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ Ἤχου, τὸ Προκείμενον *Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε, ὤμοσε Κύριος καὶ οὐ μεταμεληθήσεται*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον, εἶτα ὁ Ν΄ ψαλμὸς χῦμα, Δόξα *Τὰ σύμπαντα σήμερον χαρᾶς πληροῦνται*, Καὶ νῦν τὸ αὐτὸ, Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Δόξα ἐν ὑψίστοις Θεῷ* (ζήτει ἐν τῷ Ἑσπερινῷ τῆς Κς΄). Οἱ Κανόνες ἀμφότεροι ἀνὰ δ΄ Τροπάρια ἄνευ Στίχων, εἰς τὰ δύο τελευταῖα Δόξα Καὶ νῦν· ἀπὸ γ΄ Ὠδῆς ἡ Ὑπακοὴ χῦμα, ἀφ' ς΄ τὸ Κοντάκιον, ὁ Οἶκος καὶ τὸ Μηνολόγιον τῆς ἑορτῆς· αἱ Καταβασίαι διπλαῖ μέχρις η΄ Ὠδῆς, εἶτα ψάλλεται ἡ θ΄ Ὠδὴ μετὰ τῶν Μεγαλυναρίων ὡς ἐξῆς·

Διὰ τὸν α΄ Κανόνα.

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.

Μεγάλυνον ψυχή μου, τὸν ἐκ τῆς Παρθένου, Θεὸν σαρκὶ τεχθέντα.

Μεγάλυνον ψυχή μου, τὸν ἐν τῷ Σπηλαίῳ, τεχθέντα Βασιλέα.

Μεγάλυνον ψυχή μου, τὸν ὑπὸ τῶν Μάγων, Θεὸν προσκυνηθέντα.

Διὰ τὸν β΄ Ἰαμβικόν.

Σήμερον ἡ Παρθένος, τίκτει τὸν Δεσπότην, ἔνδον ἐν τῷ Σπηλαίῳ.

Σήμερον ὁ Δεσπότης, τίκτεται ὡς βρέφος, ὑπὸ Μητρὸς Παρθένου.

Δόξα, **Μεγάλυνον ψυχή μου, τῆς Τρισυποστάτου, καὶ ἀδιαιρέτου, Θεότητος τὸ κράτος.**

Καὶ νῦν, **Μεγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην, ἡμᾶς ἐκ τῆς κατάρας.**

Αἱ δύο Καταβασίαι τῆς θ', καὶ τὸ Ἐξαποστειλάριον *Ἐπεσκέψατο ἡμᾶς ἐκ γ'. Εἰς τοὺς Αἴνους, τὰδ' Ἰδιόμελα Εὐφραίνεσθε δίκαιοι. Δόξα Ὅτε καιρὸς τῆς ἐπὶ γῆς παρουσίας σου,* Καὶ νῦν *Σήμερον ὁ Χριστὸς μέχρι τοῦ ἡμεῖς δὲ ἀκαταπαύστως βοῶμεν,* καὶ ἄρχεται εὐθὺς ἡ Μεγάλη Δοξολογία, μεθ' ἣν τὸ Ἀπολυτίκιον *Ἡ γέννησίς σου.*

8. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα τῆς ἑορτῆς·

Ἀντίφωνον α' Ἦχος β'.

Ἐξομολογήσομαί σοι Κύριε ἐν ὅλῃ καρδίᾳ μου, διηγήσομαι πάντα τὰ θαυμάσιά σου.

Ἐν βουλῇ εὐθέων καὶ συναγωγῇ, μεγάλα τὰ ἔργα Κυρίου.

Ἐξεζητημένα εἰς πάντα τὰ θελήματα αὐτοῦ.

Ἐξομολόγησις καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου κτλ.

Ἀντίφωνον β'.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον· ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.

Δυνατὸν ἐν τῇ γῇ ἔσται τὸ σπέρμα αὐτοῦ.

Δόξα καὶ πλοῦτος ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ ἡ δικαιοσύνη αὐτοῦ μένει εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἐξανέτειλεν ἐν σκότει φῶς τοῖς εὐθέσιν.

Δόξα, Καὶ νῦν *Ὁ Μονογενὴς* κτλ.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐκ Παρθένου τεχθείς. κτλ.

Ἀντίφωνον γ' Ἦχος δ'.

Εἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου· Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου.

Ῥάβδον δυνάμεως ἐξαποστελεῖ σοι Κύριος ἐκ Σιών.

Μετὰ σοῦ ἡ ἀρχὴ ἐν ἡμέρᾳ τῆς δυνάμεώς σου, ἐν ταῖς λαμπρότησι τῶν ἁγίων σου.

Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἡμῶν κλπ.

Εἰσοδικὸν *Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου ἐγέννησά σε,* τὸ Ἀπολυτίκιον *Ἡ γέννησίς σου,* τὸ Κοντάκιον *Ἡ Παρθένος σήμερον τὸν Ὑπερούσιον τίκτει,* ἀντὶ τοῦ Τρισαγίου τὸ *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε,* ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον. Εἰς τὸ Ἐξαιρέτως *Μεγάλυνον ψυχή μου . . . Μυστήριον ξένον.* Κοινωνικὸν *Λύτρωσιν ἀπέστειλε Κύριος τῷ λαῷ αὐτοῦ,* Ἀλληλούϊα, τὸ Ἀπολυτίκιον *Ἡ γέννησίς σου* καὶ Ἀπόλυσις.

Σημείωσις. Καθ' ὅλον τὸ δωδεκαήμερον γίνεται ἐν τῇ τραπέζῃ κατάλυσις εἰς πάντα, ἐκτὸς τῆς Παραμονῆς τῶν Φώτων, ἥτις, ἂν ᾖ Σάββατον ἢ Κυριακή, ἐπιτρέπει κατάλυσιν οἴνου καὶ ἐλαίου.

Τῇ ΚϚ'—Ἡ Σύναξις τῆς Ὑπεραγίας Θεοτόκου.

9. Τῇ αὐτῇ Παρασκευῇ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὰ Ἰδιόμελα τῆς ἑορτῆς *Δεῦτε ἀγαλλιασώμεθα* εἰς ς'. Δόξα Καὶ νῦν *Δόξα ἐν Ὑψίστοις Θεῷ.* Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Μέγα Προκείμενον *Τίς Θεὸς μέγας* μετὰ τῶν στίχων αὐτοῦ. Εἰς τὰ Ἀπόστιχα, τὰ Ἰδιόμελα *Παράδοξον Μυστήριον* καὶ τὰ λοιπὰ ϛ'. Δόξα Καὶ νῦν *Ἐν Βηθλεὲμ συνέδραμον ποιμένες,* τὸ Ἀπολυτίκιον *Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς ἐκ γ'* καὶ Ἀπόλυσις.

10. Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς* καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος, Ἡ γέννησίς σου ἐκ γ'·* εἶτα τὸ Ψαλτήριον τῆς ἡμέρας (ἄνευ τοῦ Πολυελέου), τὰ δύο Καθίσματα

τὸ *Δεῦτε ἴδωμεν πιστοὶ* καὶ τὸ *Τί θαυμάζεις Μαριὰμ* καὶ ὁ Ν' ψαλμὸς χῦμα· οἱ Κανόνες ἀμφότεροι ἄνευ Στίχων ὡς χθὲς, ἀπὸ γ' Ὠδῆς ἡ Ὑπακοὴ, ἀφ' ς' τὸ Κοντάκιον *Ὁ πρὸ Ἑωσφόρου Πατρὸς ἐκλάμψας*, ὁ Οἶκος καὶ τὸ Μηνολόγιον, αἱ Καταβατίαι *Ἔσωσε λαὸν* καὶ ψάλλεται ἡ Θ' Ὠδὴ καὶ τῶν δύο Κανόνων μετὰ τῶν Μεγαλυναρίων καὶ ἡ Καταβασία *Στέργειν μὲν ἡμᾶς*, τὸ Ἐξαποστειλάριον *Ἐπεσκέψατο ἡμᾶς* ἐκ τρίτου. Εἰς τοὺς Αἴνους τὰ δ' Ἰδιόμελα *Εὐφραίνεσθε δίκαιοι*, Δόξα *Σήμερον ἡ ἀόρατος φύσις*, Καὶ νῦν *Σήμερον ὁ Χριστὸς*, Δοξολογία Μ. καὶ τὸ Ἀπολυτίκιον *Ἡ γέννησίς σου*.

11. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς ὡς χθὲς, Εἰσοδικὸν *Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου*, τὸ Ἀπολυτίκιον *Ἡ γέννησίς σου* καὶ τὸ Κοντάκιον *Ἡ Παρθένος σήμερον* ἀντὶ τοῦ Τρισαγίου *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε*, ὁ Ἀπόστολος τοῦ Σαββάτου μετὰ τὴν Χριστοῦ Γέννησιν *Τέκνον Τίτε, δίωκε δικαιοσύνην* καὶ τὸ Εὐαγγέλιον ὡσαύτως *Τῷ καιρῷ ἐκείνῳ ἠκολούθησαν τῷ Ἰησοῦ ὄχλοι πολλοί*. Εἰς τὸ Ἐξαιρέτως, *Μεγάλυνον ψυχή μου . . . Στέργειν μὲν ἡμᾶς*, Κοινωνικὸν *Λύτρωσιν ἀπέστειλε*, τὸ Ἀπολυτίκιον *Ἡ γέννησίς σου Χριστὲ* καὶ Ἀπόλυσις[5].

Κυριακὴ μετὰ τὴν Χριστοῦ Γέννησιν, καὶ τοῦ ἁγίου Πρωτομάρτυρος καὶ Ἀρχιδιακόνου Στεφάνου.

12. Τῷ αὐτῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ', τῶν Θεοπατέρων *Τὸν Θεοπάτορα πάντες* γ' καὶ τοῦ ἁγίου Στεφάνου γ', Δόξα *Μνήμην ἐπιτελοῦμεν*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Ἁγίου *Πρῶτος ἐν μάρτυσιν ἐδείχθης*, Καὶ νῦν *Χορεύουσιν Ἄγγελοι*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τοῦ Ἁγίου, τὸ *Εὐαγγελίζου Ἰωσὴφ* καὶ Ἀπόλυσις.

---

5. *Ἐν ἄλλαις ἡμέραις (ἐκτὸς δηλονότι τῆς συμπτώσεως τῆς ἑορτῆς ταύτης ἐν Σαββάτῳ ἢ Κυριακῇ), Ἀπόστολος λέγεται* **Ἀδελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι** *καὶ Εὐαγγέλιον* **Ἀναχωρησάντων τῶν Μάγων.**

13. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς* καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος. Τὰ ἀναστάσιμα Καθίσματα καὶ ἀνὰ ἓν τῆς ἑορτῆς ἀντὶ τῶν Θεοτοκίων, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τοῦ Μνήστορος *Χριστοῦ θεράπων μακάριε* μετὰ Στίχου *Ἅγιε τοῦ Θεοῦ*, ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα *Πατρὸς ὡς ἀληθῶς*, τὸ τοῦ Ἁγίου, καὶ τὸ *Χορὸς τῶν Προφητῶν*, ἀφ' ς' τὸ Κοντάκιον *Εὐφροσύνης σήμερον* καὶ ὁ Οἶκος, τὸ Μηνολόγιον τοῦ Ἁγίου καὶ τὸ Ὑπόμνημα τῆς Κυριακῆς μετὰ τὴν Χριστοῦ Γέννησιν, αἱ Καταβασίαι *Ἔσωσε λαὸν* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τοῦ ἁγίου Στεφάνου, τὸ τοῦ Μνήστορος *Σὺν Ἰακώβῳ μέλψωμεν* καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα δ' καὶ τοῦ Ἁγίου δ', Δόξα *Αἷμα καὶ πῦρ*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

14. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τοῦ Μνήστορος δ'. Μετὰ τὴν Εἴσοδον *Δεῦτε προσκυνήσωμεν . . . ὁ ἀναστὰς ἐκ νεκρῶν*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ *Εὐαγγελίζου Ἰωσὴφ*, τὸ τοῦ Ἁγίου, καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ. Κοντάκιον *Ἡ Παρθένος σήμερον*, Ἀπόστολος τοῦ Ἁγίου καὶ Εὐαγγέλιον *Ἀναχωρησάντων τῶν Μάγων*. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Σημ. Τῆς μνήμης τοῦ ἁγίου Στεφάνου ἐν ἄλλαις ἡμέραις συμπιπτούσης (ἐκτὸς δηλονότι τῆς Κυριακῆς μετὰ τὴν Χριστοῦ Γέννησιν), ἡ Ἀκολουθία αὐτοῦ μετὰ τῶν μεθεόρτων ψάλλεται ὡς ἐστι διατεταγμένη ἐν τῷ Μηναίῳ· ἐν Σαββάτῳ δὲ συμπιπτούσης, Ἀπόστολος λέγεται τοῦ Ἁγίου, καὶ Εὐαγγέλιον τοῦ Σαββάτου μετὰ τὴν Χριστοῦ Γέννησιν.

Ἡ Ἀπόδοσις τῶν Χριστουγέννων.

15. Τῆς ἑορτῆς ἡ Ἀπόδοσις κατὰ τὴν Α' ταύτην περίπτωσιν γίνεται τῇ Πέμπτῃ τῆς προσεχοῦς ἑβδομάδος, καθ' ἣν ἡμέραν ψάλ-

λονται ἅπαντα τὰ τῆς ἑορτῆς, ἐξαιρουμένων ἐν μὲν τῷ Ἑσπερινῷ τῶν Ἀναγνωσμάτων, ἐν δὲ τῷ Ὄρθρῳ τῆς Λιτῆς, τοῦ Πολυελέου καὶ τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου, ἐν τῇ Λειτουργίᾳ δὲ Ἀπόστολος καὶ Εὐαγγέλιον λέγονται τὰ τῆς ἡμέρας.

Β'.

16. Εἰ τύχοι ἡ ἑορτὴ τῆς Χριστοῦ Γεννήσεως ἐν ἡμέρᾳ Σαββάτου, τῇ Παρασκευῇ πρωὶ μετὰ τὴν τοῦ Ὄρθρου ἐνδιάτακτον Ἀκολουθίαν (ὅρα περίπτωσιν Α' § 1—5), ψάλλονται αἱ Μ. Ὧραι, ὁ Μ. Ἑσπερινὸς καὶ ἡ Λειτουργία τοῦ Μ. Βασιλείου ὡς διετάχθησαν ἐν περιπτώσει Α' § 1—6.

17. Τῷ Σαββάτῳ ψάλλεται ἡ Ἀκολουθία τοῦ Ὄρθρου τῆς ἑορτῆς μετὰ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου, ὡς διετάχθη ἐν περιπτώσει Α' § 7, 8.

Ἡ Σύναξις τῆς Ὑπεραγίας Θεοτόκου καὶ ἡ Κυριακὴ μετὰ τὴν Χριστοῦ Γέννησιν.

18. Τῷ αὐτῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ', τῆς ἑορτῆς *Δεῦτε ἀγαλλιασώμεθα* γ' καὶ τῶν Θεοπατόρων γ'. Δόξα *Μνήμην ἐπιτελοῦμεν*, Καὶ νῦν *Δόξα ἐν Ὑψίστοις Θεῷ*. Εἴσοδος *Φῶς ἱλαρὸν* καὶ τὸ Μ. Προκείμενον *Τίς Θεὸς μέγας* μετὰ τῶν στίχων αὐτοῦ. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρά. Δόξα *Ἱερέων μνήμη*, Καὶ νῦν *Ἐν Βηθλεὲμ συνέδραμον ποιμένες*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, Δόξα *Εὐαγγελίζου Ἰωσήφ*, Καὶ νῦν *Ἡ γέννησίς σου Χριστὲ ὁ Θεὸς* καὶ Ἀπόλυσις.

19. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἡ γέννησίς σου* καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν· εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος· τὰ ἀναστάσιμα Καθίσματα καὶ ἀνὰ ἓν τῆς ἑορτῆς, τὰ Εὐλογητάρια, ἡ Ὑπακοή, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου, καὶ τὸ Προκείμενον. Κανόνες, ὁ Ἀναστάσιμος, καὶ ὁ τοῦ Μνήστορος *Χριστοῦ Θεράπων μακάριε* μετὰ Στίχου *Ἅγιε τοῦ Θεοῦ*. Ἀπὸ γ' Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, εἶτα τὸ Κάθισμα *Πατρὸς ὡς ἀληθῶς*, Δόξα Καὶ νῦν *Χορὸς τῶν Προφητῶν*. Ἀφ' ς'

Κοντάκιον *Εὐφροσύνης σήμερον* καὶ ὁ Οἶκος, τὸ Μηνολόγιον καὶ τὸ ὑπόμνημα τῆς Κυριακῆς μετὰ τὴν Χριστοῦ Γέννησιν· αἱ Καταβασίαι *Ἔσωσε λαὸν* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, εἶτα ψάλλεται ἡ Θ' Ὠδὴ καὶ τῶν δύο κανόνων τῆς ἑορτῆς μετὰ τῶν Μεγαλυναρίων καὶ ἡ Καταβασία *Στέργειν μὲν ἡμᾶς*. Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τῶν Θεοπατόρων *Σὺν Ἰακώβῳ μέλψωμεν* καὶ μεθέορτον *Καθάρθητε, προσέλθετε*. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ' καὶ τῆς ἑορτῆς *Εὐφραίνεσθε δίκαιοι δ'*. Δόξα *Αἷμα καὶ πῦρ*, Καὶ νῦν *Σήμερον ἡ ἀόρατος φύσις*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον Σωτηρία*.

20. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς, εἰς τὸ δ' Ἀντίφωνον *Ὁ ἐκ Παρθένου τεχθείς*. Εἰς τὴν Εἴσοδον *Δεῦτε προσκυνήσωμεν . . . ὁ ἀναστὰς ἐκ νεκρῶν*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον *Ἡ γέννησίς σου Χριστὲ, Εὐαγγελίζου Ἰωσήφ*, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ τὸ Κοντάκιον *Ἡ Παρθένος σήμερον*, ἀντὶ τοῦ Τρισαγίου, τὸ *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε*. Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς μετὰ τὴν Χριστοῦ Γέννησιν. Εἰς τὸ Ἐξαιρέτως *Μεγάλυνον ψυχή μου . . . Στέργειν μὲν ἡμᾶς*. Κοινωνικὸν *Λύτρωσιν ἀπέστειλε*, τὸ *Ἡ γέννησίς σου* καὶ Ἀπόλυσις.

Σημ. Περὶ τῆς μνήμης τοῦ ἁγίου Στεφάνου ἐν τῇ Β' ταύτῃ περιπτώσει, ὅρα ἐν περιπτώσει Α' § 14 σημ.

Ἡ Ἀπόδοσις.

21. Τῆς ἑορτῆς ἡ Ἀπόδοσις κατὰ τὴν Β' ταύτην περίπτωσιν γίνεται τῇ Παρασκευῇ τῆς προσεχοῦς ἑβδομάδος, ἐν ᾗ, ὡς ἔφημεν ἐν περιπτώσει Α' § 15, ψάλλονται ἅπαντα τὰ τῆς ἑορτῆς μετὰ τῶν ἐξαιρέσεων, αἵτινες ἐσημειώθησαν ἐκεῖ.

Γ'.

22. Εἰ τύχοι ἡ ἑορτὴ τῆς τοῦ Χριστοῦ Γεννήσεως ἐν Κυριακῇ, τῇ Παρασκευῇ πρωὶ μετὰ τὴν τοῦ Ὄρθρου ἐνδιάτακτον Ἀκολουθίαν, (ὅρα περίπτ. Α' § 1-5) ψάλλονται αἱ Μ. Ὧραι μόναι· μετὰ δὲ τὴν Εὐχὴν τῆς Θ' Ὥρας γίνεται ἡ συνήθης Ἀπόλυσις.

Σημ. Κατὰ τὴν Γ' ταύτην περίπτωσιν εἰς τὰς Ὥρας Τροπάριον λέγεται τὸ *Ἑτοιμάζου Βηθλεὲμ*, διότι Ἀπεγράφετό ποτε λέγεται μόνον ὅταν αἱ Ὧραι ψάλλωνται ἐν τῇ ἀμέσῳ Παραμονῇ τῆς ἑορτῆς.

23. Τῇ αὐτῇ Παρασκευῇ ἑσπέρας, ψάλλεται Ἑσπερινὸς κατὰ τὴν τάξιν τοῦ Μηναίου. Μετὰ τὸ *Νῦν ἀπολύεις*, ψάλλεται ὁ προεόρτιος Κανὼν *Κύματι θαλάσσης*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἀπεγράφετό ποτε* καὶ Ἀπόλυσις.

24. Τῷ Σαββάτῳ πρωῒ εἰς τὸν Ὄρθρον, οἱ Κανόνες χῦμα, εἶτα ψάλλεται ὁ Εἱρμὸς τῆς Η΄ Ὠδῆς καὶ στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Προεόρτιον *Ὁ φῶς οἰκῶν ἀπρόσιτον*, τὸ τῆς Ἁγίας καὶ τὸ ἕτερον Προεόρτιον, οἱ Αἶνοι *Ὦ τῶν ὑπὲρ νοῦν*, Δόξα Καὶ νῦν *Ὑπόδεξαι Βηθλεὲμ*, Δοξολογία Μ. καὶ τὸ Ἀπολυτίκιον. Εἰς τὴν Λειτουργίαν, Ἀντίφωνα τὸ *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ*, εἰς τὴν Εἴσοδον *Δεῦτε προσκυνήσωμεν... ὁ ἐν Ἁγίοις θαυμαστὸς*, τὸ Ἀπολυτίκιον *Ἀπεγράφετό ποτε*, τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Ἡ Παρθένος σήμερον*, Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Σαββάτου πρὸ τῆς Χριστοῦ Γεννήσεως. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Μακάριοι οὓς ἐξελέξω*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

25. Τῷ αὐτῷ Σαββάτῳ ἑσπέρας ψάλλεται ὁ τῆς ἑορτῆς Μ. Ἑσπερινὸς ὡς ἑξῆς: Μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὰ Ἰδιόμελα *Δεῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ* εἰς ς΄, Δόξα Καὶ νῦν *Αὐγούστου μοναρχήσαντος*, Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν*, καὶ εὐθὺς τὰ Ἀναγνώσματα μετὰ τῶν Τροπαρίων ἀπαραλλάκτως ὡς διετάχθησαν ἐν περιπτώσει Α΄ § 6. Μετὰ τὸ τελευταῖον Ἀνάγνωσμα εὐθὺς (ἄνευ τῆς Συναπτῆς) ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον. Εἶτα ἡ Μ. Συναπτὴ *Εἴπωμεν πάντες*, τὸ *Καταξίωσον*, *Πληρώσωμεν τὴν ἑσπερινὴν*, καὶ ψάλλονται τὰ γ΄ Ἀπόστιχα Ἰδιόμελα *Μέγα καὶ παράδοξον θαῦμα*, Δόξα *Εὐφράνθητι Ἱερουσαλήμ*, Καὶ νῦν *Σπηλαίῳ παρῴκησας*, *Νῦν ἀπολύεις*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἡ γέννησίς σου* ἐκ γ΄ καὶ Ἀπόλυσις ἡ ἐν § 6 τῆς Α΄ περιπτώσεως.

26. Τῇ Κυριακῇ, ψάλλεται ἡ Ἀκολουθία τοῦ Ὄρθρου τῆς ἑορτῆς, ὡς διετάχθη ἐν περιπτώσει Α΄ § 7, 8 μετὰ τῆς Λειτουργίας τοῦ Μ. Βασιλείου.

Ἡ Σύναξις τῆς Ὑπεραγίας Θεοτόκου καὶ ἡ Ἀκολουθία τῆς Κυριακῆς μετὰ τὴν Χριστοῦ Γέννησιν.

Σημ. Κατὰ ταύτην τὴν ἡμέραν τῆς Δευτέρας, συμψάλλεται καὶ ἡ Ἀκολουθία τῆς Κυριακῆς μετὰ τὴν Χριστοῦ Γέννησιν, διότι ἡ μεταξὺ τῶν δύο μεγάλων ἑορτῶν μία Κυριακὴ συμπίπτει τῇ α΄ τοῦ Ἰανουαρίου, καθ' ἣν ἑορτάζονται ἡ Περιτομὴ τοῦ Κυρίου καὶ ἡ μνήμη τοῦ Μ. Βασιλείου· ψάλλεται δὲ ἡ Ἀκολουθία ὡς ἑξῆς.

27. Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν εἰς τὸ *Κύριε ἐκέκραξα*, ψάλλομεν Ἰδιόμελα τῆς ἑορτῆς *Δεῦτε ἀγαλλιασώμεθα* γ΄ καὶ τῶν Θεοπατόρων γ΄, Δόξα *Μνήμην ἐπιτελοῦμεν*, Καὶ νῦν *Δόξα ἐν Ὑψίστοις Θεῷ* (ζήτει τῇ ΚΣ΄), Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Μ. Προκείμενον *Τίς Θεὸς μέγας!* μετὰ τῶν Στίχων αὐτοῦ. Εἰς τὰ Ἀπόστιχα, τὰ Ἰδιόμελα τῆς ἑορτῆς *Παράδοξον μυστήριον* καὶ τὰ λοιπὰ δύο (ζήτει τῇ ΚΣ΄), Δόξα *Ἱερέων μνήμη* (Κυρ. μετὰ τὴν Χ. Γέννησιν), Καὶ νῦν *Ἐν Βηθλεὲμ συνέδραμον ποιμένες* (ἐν τῇ Κς΄), Ἀπολυτίκια *Ἡ Γέννησίς σου*, τῶν Θεοπατόρων *Εὐαγγελίζου Ἰωσήφ*, αὖθις *Ἡ Γέννησίς σου* καὶ Ἀπόλυσις.

28. Τῇ Δευτέρᾳ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἡ Γέννησίς σου* καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον (ἄνευ τοῦ Πολυελέου), τὰ δύο Καθίσματα τῆς ἑορτῆς *Δεῦτε ἴδωμεν πιστοὶ* καὶ τὸ *Τί θαυμάζεις Μαριὰμ;* καὶ εὐθὺς ὁ Ν΄ ψαλμὸς χῦμα, ὁ Κανὼν τῆς ἑορτῆς *Χριστὸς γεννᾶται* μετὰ Στίχου *Δόξα σοι ὁ Θεὸς ἡμῶν*, καὶ ὁ τοῦ Μνήστορος *Χριστοῦ θεράπων μακάριε* μετὰ Στίχου *Ἅγιε τοῦ Θεοῦ*, ἀπὸ γ΄ Ὠδῆς τὰ Καθίσματα *Πατρὸς ὡς ἀληθῶς*, Δόξα Καὶ νῦν *Χορὸς τῶν Προφητῶν*, ἀφ' ς΄ Κοντάκιον καὶ Οἶκος τῆς Κυριακῆς μετὰ τὴν Χριστοῦ Γέννησιν, τὸ Μηνολόγιον τῆς ἡμέρας καὶ τὸ Ὑπόμνημα τῶν Θεοπατόρων, αἱ Καταβασίαι *Ἔσωσε λαὸν*, εἶτα ψάλλεται ἡ Θ΄ Ὠδὴ τῆς ἑορτῆς ἐκ τοῦ α΄ Κανόνος μετὰ τῶν Μεγαλυναρίων καὶ ἡ τοῦ Μνήστορος μετὰ Στίχου *Ἅγιε τοῦ Θεοῦ* καὶ ἡ Καταβασία *Στέργειν μὲν ἡμᾶς* μετὰ τοῦ Μεγαλυναρίου, Ἐξαποστειλάρια *Σὺν Ἰακώβῳ μέλψωμεν* καὶ ὁ τῆς ἑορτῆς *Ἐπεσκέψατο ἡμᾶς*. Εἰς τοὺς Αἴνους, τὰ δ΄ Ἰδιό-

μελα τῆς ἑορτῆς *Εὐφραίνεσθε δίκαιοι*, Δόξα *Αἷμα καὶ πῦρ*, Καὶ νῦν *Σήμερον ἡ ἀόρατος φύσις*, Δοξολογία Μεγάλη καὶ τὸ *Ἡ Γέννησίς σου*.

29. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα τῆς ἑορτῆς, ὡς χθὲς, τὸ Εἰσοδικὸν *Ἐκ γαστρὸς πρὸ Ἑωσφόρου*, τὰ Ἀπολυτίκια *Ἡ γέννησίς σου*, τὸ *Εὐαγγελίζου Ἰωσὴφ* καὶ Κοντάκιον *Ἡ Παρθένος σήμερον τὸν Ὑπερούσιον τίκτει*· ἀντὶ τοῦ Τρισαγίου *Ὅσοι εἰς Χριστὸν*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς μετὰ τὴν Χριστοῦ Γέννησιν. Εἰς τὸ Ἐξαιρέτως *Στέργειν μὲν ἡμᾶς*, Κοινωνικὸν *Λύτρωσιν ἀπέστειλε*, *Ἡ γέννησίς σου* καὶ Ἀπόλυσις.

Τὸ ἑσπέρας καὶ τῇ Τρίτῃ πρωὶ ψάλλεται ἡ Ἀκολουθία τοῦ ἁγίου Στεφάνου μετὰ τῆς τοῦ Ὁσίου Θεοδώρου καὶ τῶν μεθεόρτων, ὡς διατάττεται ἐν τῷ Μηναίῳ (ὅρα καὶ περίπτωσιν Α΄ Σημείωσιν τῆς § 14).

Ἡ Ἀπόδοσις.

30. Τῆς ἑορτῆς ἡ Ἀπόδοσις κατὰ τὴν Γ΄ ταύτην περίπτωσιν γίνεται τὸ προσεχὲς Σάββατον (ἤτοι τῇ Λ΄ τοῦ μηνὸς), ἐν ᾧ (ὡς προείρηται ἐν περιπτώσει Α΄ § 15) ψάλλονται ἅπαντα τὰ τῆς ἑορτῆς. Ἀπόστολος καὶ Εὐαγγέλιον λέγονται τοῦ Σαββάτου πρὸ τῶν Φώτων.

Δ΄.

31. Εἰ τύχοι ἡ ἑορτὴ τῆς Χριστοῦ Γεννήσεως ἐν ἡμέρᾳ Δευτέρᾳ, τῇ Παρασκευῇ πρωὶ μετὰ τὴν ἐνδιάτακτον Ἀκολουθίαν τοῦ Ὄρθρου, ψάλλονται αἱ Μ. Ὧραι μόναι ὡς προδιετάχθησαν ἐν περιπτώσει Α΄ § 1—5 καὶ μετὰ τὴν εὐχὴν τῆς Θ΄ ὥρας, ἡ Ἀπόλυσις. Καὶ ἐν τῇ περιπτώσει ταύτῃ Ἀπολυτίκιον εἰς τὰς Ὥρας λέγεται τὸ *Ἑτοιμάζου Βηθλεὲμ* διὰ τὸ μὴ ἄμεσον εἶναι (ὡς εἴρηται ἐν περιπτώσει Γ΄ § 22) τὴν Παραμονὴν τῇ ἑορτῇ.

32. Τῇ αὐτῇ Παρασκευῇ ἑσπέρας καὶ τῷ Σαββάτῳ πρωὶ ἡ Ἀκολουθία τῶν Δέκα Μαρτύρων καὶ τῶν Προεορτίων ψάλλονται κατὰ τὴν ἐν τῷ Μηναίῳ διάταξιν· τὸ Ἀπολυτίκιον *Ἑτοιμάζου Βηθλεὲμ* καὶ Κοντάκιον *Ἡ Παρθένος σήμερον τὸν προαιώνιον Λόγον*. Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Σαββάτου πρὸ τῆς Χριστοῦ

Γεννήσεως, Κοινωνικὸν *Μακάριοι οὓς ἐξελέξω*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

33. Τῷ αὐτῷ Σαββάτῳ ἑσπέρας καὶ τῇ Κυριακῇ πρωὶ, ψάλλεται ἡ Ἀκολουθία τῆς πρὸ τῆς Χριστοῦ Γεννήσεως Κυριακῆς, ὡς διετάχθη ἐν περιπτώσει Γ΄ § 7, 8, 9.

34. Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας ψάλλεται ὁ τῆς ἑορτῆς Μέγας Ἑσπερινὸς ὡς προδιετάχθη ἐν περιπτώσει Γ΄ § 25.

35. Τῇ δὲ Δευτέρᾳ ψάλλεται ἡ Ἀκολουθία τοῦ Ὄρθρου ὡς διετυπώθη ἐν περιπτώσει Α΄ § 7, 8, μετὰ τῆς Λειτουργίας τοῦ Μ. Βασιλείου.

Ἡ Σύναξις τῆς Ὑπεραγίας Θεοτόκου.

36. Τῇ αὐτῇ Δευτέρᾳ ἑσπέρας, καὶ τῇ Τρίτῃ πρωὶ ἡ Ἀκολουθία τοῦ Ἑσπερινοῦ, τοῦ Ὄρθρου καὶ τῆς Λειτουργίας ψάλλεται ὡς διετυπώθη ἐν περιπτώσει Α΄ § 9, 10. Ἀπόστολος *Ἀδελφοὶ ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι* καὶ Εὐαγγέλιον *Ἀναχωρησάντων τῶν Μάγων* (Ὅρα § 11 Σημ. γ΄).

Κυριακὴ μετὰ τὴν Χριστοῦ Γέννησιν καὶ ἡ Ἀπόδοσις τῆς Ἑορτῆς.

37. Τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Ἀναστάσιμα γ΄, τῆς ἑορτῆς *Δεῦτε ἀγαλλιασώμεθα* δ΄ καὶ τῶν Θεοπατόρων γ΄, Δόξα *Μνήμην ἐπιτελοῦμεν*, Καὶ νῦν *Αὐγούστου μοναρχήσαντος*, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα *Ἱερέων μνήμη*, Καὶ νῦν *Σπηλαίῳ παρώκησας*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τῶν Θεοπατόρων *Εὐαγγελίζου Ἰωσὴφ*, τὸ τῆς ἑορτῆς, καὶ Ἀπόλυσις.

38. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἡ Γέννησίς σου* καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα καὶ τὰ τῆς ἑορτῆς ἀντὶ Θεοτοκίων, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τῆς ἑορτῆς μετὰ Στίχου *Δόξα σοι ὁ Θεὸς* καὶ ὁ τοῦ Μνήστορος *Χριστοῦ θεράπων*

μακάριε μετὰ Στίχου *Ἅγιε τοῦ Θεοῦ*, ἀπὸ γ' Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου χῦμα, εἶτα τὸ Κάθισμα *Πατρὸς ὡς ἀληθῶς*, Καὶ νῦν *Χορὸς τῶν Προφητῶν*, ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τῆς Κυριακῆς μετὰ τὴν Χριστοῦ Γέννησιν, τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας καὶ τὸ Ὑπόμνημα τῆς Κυριακῆς μετὰ τὴν Χριστοῦ Γέννησιν, αἱ Καταβασίαι διπλαῖ καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα ψάλλεται ἡ Θ' Ὠδὴ καὶ τῶν δύο Κανόνων τῆς ἑορτῆς μετὰ τῶν Μεγαλυναρίων καὶ ἀμφότεραι αἱ Καταβασίαι τῆς Θ'. Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον, τῶν Θεοπατόρων καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ' καὶ τῆς ἑορτῆς δ', Δόξα *Αἷμα καὶ πῦρ*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

39. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς, εἰς τὸ β' Ἀντίφωνον *Ὁ ἐκ Παρθένου τεχθείς*, τὸ Εἰσοδικὸν τῆς ἑορτῆς μετὰ τοῦ *Ὁ ἀναστὰς ἐκ νεκρῶν*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον *Ἡ Γέννησίς σου*, τὸ *Εὐαγγελίζου Ἰωσὴφ* καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ, Κοντάκιον *Ἡ Παρθένος σήμερον*, τὸ Τρισάγιον, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς πρὸ τῶν Φώτων. Εἰς τὸ Ἐξαιρέτως *Μεγάλυνον ψυχή μου . . . Στέργειν μὲν ἡμᾶς*, Κοινωνικὸν *Λύτρωσιν ἀπέστειλε*, *Ἡ Γέννησίς σου* καὶ Ἀπόλυσις.

Ε'.

40. Εἰ τύχοι ἡ ἑορτὴ τῆς Χριστοῦ Γεννήσεως ἐν ἡμέρᾳ Τρίτῃ, Τετάρτῃ ἢ Πέμπτῃ, τῇ Παραμονῇ ἡ Ἀκολουθία τῶν Μ. Ὡρῶν, ὁ Μ. Ἑσπερινὸς καὶ ἡ Λειτουργία τοῦ Μ. Βασιλείου, καὶ τὸ πρωΐ ἡ Ἀκολουθία τῆς ἑορτῆς, ὡς καὶ ἡ τῆς ἑπομένης ἡμέρας, ψάλλονται ὡς διετάχθησαν ἐν περιπτώσει Α' § 1-11. Καὶ ἐν ταῖς τρισὶ ταύταις περιστάσεσιν ἡ Ἀκολουθία τῆς Κυριακῆς μετὰ τὴν Χριστοῦ Γέννησιν ψάλλεται ὡς ἐφεξῆς.

Κυριακὴ μετὰ τὴν Χριστοῦ Γέννησιν.

41. Τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Ἀναστάσιμα δ', τῆς ἑορτῆς *Δεῦτε ἀγαλλιασώμεθα* γ', καὶ τῶν Θεοπατόρων γ', Δόξα *Μνήμην ἐπιτελοῦμεν*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα *Ἱερέων μνήμη*, Καὶ νῦν *Χορεύουσιν Ἄγγελοι*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τῶν Θεοπατόρων *Εὐαγγελίζου Ἰωσὴφ*, *Ἡ Γέννησίς σου* Χριστὲ καὶ Ἀπόλυσις.

42. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν' ψαλμὸν, ψάλλεται ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἡ Γέννησίς σου* καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα μετὰ τῶν μεθεόρτων, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τοῦ Μνήστορος μετὰ Στίχου *Ἅγιε τοῦ Θεοῦ*, ἀπὸ γ' Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, εἶτα τὸ Κάθισμα *Πατρὸς ὡς ἀληθῶς*, Καὶ νῦν *Χορὸς τῶν Προφητῶν*, ἀφ' ς' τὸ Κοντάκιον *Εὐφροσύνης σήμερον* καὶ ὁ Οἶκος *Ἀπορρήτῳ βουλῇ*, τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας, καὶ τὸ Ὑπόμνημα τῆς Κυριακῆς, αἱ Καταβασίαι *Ἔσωσε λαὸν* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τῶν Θεοπατόρων καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ' καὶ τῆς ἑορτῆς *Εὐφραίνεσθε δίκαιοι* δ', Δόξα *Αἷμα καὶ πῦρ*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

43. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τοῦ Μνήστορος δ'. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ *Ἡ Γέννησίς σου*, *Εὐαγγελίζου Ἰωσὴφ* καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ. Κοντάκιον *Ἡ Παρθένος σήμερον*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς μετὰ τὴν Χριστοῦ Γέννησιν. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τέλος τῶν πέντε Περιπτώσεων τῆς ἑορτῆς τῶν Χριστουγέννων.

ΜΗΝ ΙΑΝΟΥΑΡΙΟΣ

Τῇ Α'.—Ἡ Περιτομὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ μνήμη τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου τοῦ Μεγάλου.

1. Ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὴν α' Στάσιν τοῦ Ψαλτηρίου, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὰ δύο Ἰδιόμελα τῆς ἑορτῆς διπλασιάζοντες τὸ πρῶτον, καὶ τοῦ Ἁγίου Προσόμοια γ', Δόξα τοῦ Ἁγίου *Σοφίας ἐραστὴς*, Καὶ νῦν *Συγκαταβαίνων ὁ Σωτὴρ*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ γ' Ἰδιόμελα τοῦ Ἁγίου, Δόξα *Ὁ τὴν χάριν τῶν θαυμάτων*, Καὶ νῦν *Οὐκ ἐπησχύνθη ὁ παράγαθος Θεός*. Ἀπολυτίκιον τοῦ Ἁγίου, εἶτα Δόξα Καὶ νῦν τὸ τῆς ἑορτῆς ἅπαξ, καὶ Ἀπόλυσις *Ὁ ἐν τῇ ὀγδόῃ ἡμέρᾳ σαρκὶ περιτμηθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν Χριστὸς ὁ ἀληθινός . . .*

2. Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ἡ Λιτὴ τοῦ Ἁγίου, εἶτα τὸ Τριτάγιον, τὸ Ἀπολυτίκιον *Μορφὴν ἀναλλοιώτως*, καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου δὶς καὶ τὸ τῆς ἑορτῆς ἅπαξ, εἶτα τὸ Ψαλτήριον τῆς ἡμέρας καὶ ὁ Πολυέλεος, τὰ Καθίσματα κατὰ σειρὰν, οἱ Ἀναβαθμοὶ, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου, καὶ τὸ Προκείμενον *Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ*, τὸ *Πᾶσα πνοὴ*, καὶ Εὐαγγέλιον τοῦ Ὄρθρου (ζήτει Νοεμβρίου ΙΓ')· εἶτα ὁ Ν' ψαλμὸς χῦμα, Δόξα *Ταῖς τοῦ Ἱεράρχου*, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου*, Στίχος *Ἐλέησόν με ὁ Θεὸς*, καὶ τὸ Ἰδιόμελον *Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου*· ὁ Κανὼν τῆς ἑορτῆς *Δεῦτε λαοὶ* μετὰ Στίχου *Δόξα σοι ὁ Θεὸς*, καὶ ὁ τοῦ Ἁγίου *Σοῦ τὴν φωνὴν* μετὰ Στίχου *Ἅγιε τοῦ Θεοῦ*· ἀπὸ γ' Ὠδῆς Κάθισμα τοῦ Ἁγίου, καὶ τῆς ἑορτῆς, ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Ἁγίου καὶ τὸ Μηνολόγιον· αἱ Καταβασίαι διπλαῖ, εἶτα ψάλλεται ἡ Θ' Ὠδὴ τῆς ἑορτῆς μετὰ τῆς τοῦ Ἁγίου καὶ τὰ Μεγαλυνάρια αὐτῶν·

Διὰ τὸν Α' Κανόνα.

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, τῶν ἄνω στρατευμάτων.

Μεγάλυνον ψυχή μου, τὸν κατὰ τὸν νόμον, σαρκὶ περιτμηθέντα.

Μεγάλυνον ψυχή μου, τὸν ἐν τῇ ὀγδόῃ, περιτομὴν λαβόντα.

Σήμερον ὁ Δεσπότης, σαρκὶ περιετμήθη, καὶ Ἰησοῦς ἐκλήθη.

Διὰ τὸν Β' Κανόνα.

Μεγάλυνον ψυχή μου, τὸν ἐν Ἱεράρχαις, Βασίλειον τὸν μέγαν.

Μεγάλυνον ψυχή μου, τὸν ἐκ Καισαρείας, Βασίλειον τὸν μέγαν.

Δόξα, **Μεγάλυνον ψυχή μου, τῆς Τρισυποστάτου, καὶ ἀδιαιρέτου, Θεότητος τὸ κράτος.**

Καὶ νῦν, **Μεγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην, ἡμᾶς ἐκ τῆς κατάρας.**

Ἐξαποστειλάρια τοῦ Ἁγίου καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, τὰ Προσόμοια εἰς δ'. Δόξα *Ἐξεχύθη ἡ χάρις ἐν χείλεσί σου*, Καὶ νῦν *Συγκαταβαίνων ὁ Σωτὴρ*, Δοξολογία Μεγάλη, τὸ Ἀπολυτίκιον *Μορφὴν ἀναλλοιώτως* καὶ Ἀπόλυσις.

3. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα·

Ἀντίφωνον α'.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. Ψάλατε δὴ τῷ ὀνόματι αὐτοῦ. Διηγήσασθε πάντα τὰ θαυμάσια αὐτοῦ. Εἴπατε τῷ Θεῷ· ὡς φοβερὰ τὰ ἔργα σου. } *Ταῖς πρεσβείαις τῆς Θεοτόκου κτλ.*

Ἀντίφωνον 6'.

Εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ.
Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινόν.
Ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς ὡραιότητος αὐτοῦ.
Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ, πάντα ὅσα ἠθέλησεν ἐποίησεν.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ σαρκὶ περιτμηθεὶς κτλ.

Ἀντίφωνον γ'.

Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι.
Ἀναγγελῶ τὴν ἀλήθειάν σου ἐν τῷ στόματί μου,
Ἠγάπησας δικαιοσύνην καὶ ἐμίσησας ἀνομίαν.

Μορφὴν ἀλλοιώτως κτλ.

Εἰσοδικὸν *Δεῦτε προσκυνήσωμεν . . . ὁ σαρκὶ περιτμηθεὶς*, τὸ Ἀπολυτίκιον *Μορφὴν ἀλλοιώτως*, τοῦ Ἁγίου *Εἰς πᾶσαν τὴν γῆν* καὶ τοῦ Ἁγίου τοῦ ναοῦ· Κοντάκιον *Ὁ τῶν ὅλων Κύριος περιτομὴν ὑπομένει* (Ζήτει ἀπὸ γ' Ὠδῆς τοῦ Κανόνος)· τὸ Τρισάγιον, Ἀπόστολος *Ἀδελφοὶ μή τις ὑμᾶς ἔσται ὁ συλαγωγῶν*, καὶ Εὐαγγέλιον *Ὑπέστρεψαν οἱ Ποιμένες δοξάζοντες* καὶ καθεξῆς ἡ Λειτουργία τοῦ Μεγάλου Βασιλείου· εἰς τὰ Δίπτυχα ψάλλεται τὸ Μεγαλυνάριον τοῦ Ἁγίου·

Τὸν οὐρανοφάντορα τοῦ Χριστοῦ μύστην τοῦ Δεσπότου, τὸν φωστῆρα τὸν φαεινὸν, τὸν ἐκ Καισαρείας καὶ Καππαδόκων χώρας, Βασίλειον τὸν μέγαν πάντες τιμήσωμεν.

Κοινωνικὸν *Αἰνεῖτε τὸν Κύριον* (ἐν οἵᾳ ἂν ἡμέρᾳ τύχῃ ἡ ἑορτή)· ἀντὶ τοῦ *Εἴδομεν τὸ φῶς*, τὸ *Μορφὴν ἀλλοιώτως* καὶ Ἀπόλυσις.

4. Εἰ τύχοι ἡ ἑορτὴ ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ', τῆς ἑορτῆς τὰ δύο Ἰδιόμελα εἰς γ' καὶ τοῦ Ἁγίου γ'. Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ

ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Οὐκ ἐπῃσχύνθη*, Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τὸ τοῦ Ἁγίου, τὸ τῆς ἑορτῆς, καὶ Ἀπόλυσις.

5. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν ὁ Τριαδικὸς κανὼν, καὶ ἡ Λιτὴ τοῦ Ἁγίου, Δόξα καὶ νῦν *Οὐκ ἐπῃσχύνθη* καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*. Εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Μορφὴν ἀναλλοιώτως* καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος. Εἰς τὰ Καθίσματα, ἀνὰ ἓν Ἀναστάσιμον, τοῦ Ἁγίου καὶ τῆς ἑορτῆς ἐν τῇ α' καὶ δ' στιχολογίᾳ· ἐν δὲ τῇ γ' τὰ τοῦ Μηναίου ὡς ἔχουσιν, εἶτα τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος, ὁ τῆς ἑορτῆς καὶ ὁ τοῦ Ἁγίου ἀνὰ δ'· ἀπὸ γ' Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, εἶτα τὸ Κάθισμα τοῦ Ἁγίου καὶ τὸ τῆς ἑορτῆς· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Ἁγίου καὶ τὸ Μηνολόγιον τῆς ἡμέρας, αἱ Καταβασίαι διπλαῖ καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα ψάλλεται ἡ Θ' Ὠδὴ τῆς ἑορτῆς καὶ ἡ τοῦ Ἁγίου μετὰ τῶν Μεγαλυναρίων καὶ αἱ δ' Καταβασίαι τῆς Θ', Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τὸ τοῦ Ἁγίου καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ' καὶ τῆς ἑορτῆς δ', Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Συγκαταβαίνων ὁ Σωτὴρ*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

6. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα· εἰς τὸ δ' Ἀντίφωνον *Ὁ σαρκὶ περιτμηθείς*· μετὰ τὴν Εἴσοδον, *Δεῦτε προσκυνήσωμεν... ὁ ἀναστὰς ἐκ νεκρῶν*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ τὸ τοῦ Ἁγίου, Κοντάκιον *Ὁ τῶν ὅλων Κύριος* (ζήτει ἀπὸ γ' Ὠδῆς), Ἀπόστολος τοῦ Ἁγίου καὶ Εὐαγγέλιον *Ὑπέστρεψαν οἱ ποιμένες* καὶ καθεξῆς ἡ Λειτουργία τοῦ Μεγάλου Βασιλείου. Εἰς τὰ Δίπτυχα ψάλλεται τὸ Μεγαλυνάριον τοῦ Ἁγίου (ὅρα ὄπισθεν § 3), Κοινωνικὸν *Αἰνεῖτε*, τὸ Ἀπολυτίκιον *Μορφὴν ἀναλλοιώτως* καὶ Ἀπόλυσις.

Κυριακὴ πρὸ τῶν Φώτων.

ΠΕΡΙΠΤΩΣΕΙΣ

Α'.

1. Εἰ τύχοι ἡ Κυριακὴ πρὸ τῶν Φώτων τῇ Β', Γ', ἢ Δ' τοῦ μηνὸς, ἡ Ἀκολουθία ψάλλεται ὡς ἐφεξῆς· Τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Ἀναστάσιμα ς' καὶ δ' Προεόρτια *Προεόρτια ἅσματα* (ζήτει τῇ Β' τοῦ μηνός)· Δόξα *Ἔρχεται πρὸς Ἰορδάνην*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν *Ἰωάννη Βαπτιστὰ* (ζήτει τῇ Β' τοῦ μηνός). Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τὸ Προεόρτιον *Ἑτοιμάζου Ζαβουλὼν* καὶ Ἀπόλυσις.

2. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*. Εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἑτοιμάζου Ζαβουλὼν* καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ ἀναστάσιμον Ἀπολυτίκιον δὶς καὶ τὸ Προεόρτιον ἅπαξ, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ τοῦ ἤχου, οἱ Ἀναβαθμοὶ καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ Προεόρτιος τῆς ἡμέρας. Ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα *Ἀόρατε Θεὲ ἅπαξ, ἀφ' ς'* Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας· αἱ Καταβασίαι *Βυθοῦ ἀνεκάλυψε πυθμένα* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*. Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον καὶ τὸ Προεόρτιον *Πῶς ῥεῖθρά σε ποτάμια* (ζήτει τῇ Β' τοῦ μηνός). Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ' καὶ δ' Προεόρτια *Αἱ Ἀγγελικαὶ προπορεύεσθε δυνάμεις*. Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*. Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

3. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ ἐκ τῆς ς' Ὠδῆς τοῦ προεορτίου Κανόνος δ'· μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ Προεόρτιον *Ἑτοιμάζου Ζαβουλὼν* καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ. Κοντάκιον *Ἐν τοῖς ῥείθροις σήμερον*· Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς πρὸ

τῶν Φώτων. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Β'.

4. Εἰ τύχοι ἡ Κυριακὴ πρὸ τῶν Φώτων τῇ Παραμονῇ τῆς ἑορτῆς (τῇ Ε' τοῦ μηνὸς), τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Ἀναστάσιμα ς' καὶ Προεόρτια δ' *Προεόρτια ἅσματα*. Δόξα *Ἔρχεται πρὸς Ἰορδάνην*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν *Ἐν Ἰορδάνῃ ποταμῷ* (ζήτει τῇ Γ' τοῦ μηνὸς), Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τὸ Προεόρτιον *Ἀπεστρέφετό ποτε* καὶ Ἀπόλυσις.

5. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἀπεστρέφετό ποτε* καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον δὶς καὶ τὸ Προεόρτιον ἅπαξ, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ τοῦ ἤχου, οἱ Ἀναβαθμοὶ καὶ τὸ Προκείμενον. Κανόνες, ὁ Ἀναστάσιμος καὶ ὁ Προεόρτιος *Χριστὸς μολεῖ πρὸς τὸ βάπτισμα* (ζήτει τῇ Ε' τοῦ μηνὸς) μετὰ Στίχου *Δόξα σοι ὁ Θεός*· ἀπὸ γ' Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον καὶ ὁ Οἶκος, εἶτα τὸ Κάθισμα *Ὁ μέγας ὑετὸς*, ἀφ' ς' Κοντάκιον *Ἐν τοῖς ῥείθροις σήμερον*, ὁ Οἶκος καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας· αἱ Καταβασίαι *Βυθοῦ ἀνεκάλυψε πυθμένα* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*· Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον καὶ τὸ Προεόρτιον *Πῶς ῥεῖθρά σε ποτάμια* (ζήτει τῇ Β' τοῦ μηνός). Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ' καὶ δ' Προεόρτια *Ἰδοὺ ὁ Βασιλεύς*. Δόξα *Ἰωάννη Βαπτιστὰ*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

6. Εἰς τὴν Λειτουργίαν τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ ἐκ τῆς ς' Ὠδῆς τοῦ προεορτίου Κανόνος δ'. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ Προεόρτιον *Ἀπεστρέφετό ποτε*, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ τὸ Κοντάκιον *Ἐν τοῖς ῥείθροις σήμερον*. Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς πρὸ τῶν

Φώτων· εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς.*

Μετὰ τὸ *Εἴη τὸ ὄνομα Κυρίου*, ψάλλονται τὰ Ἰδιόμελα *Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων* κτλ.· καὶ τελεῖται ὁ Ἁγιασμὸς, ὡς εἴθισται, κατὰ τὴν ἐν τῷ Μηναίῳ διάταξιν· Ἀπολυτίκιον *Ἐν Ἰορδάνῃ* καὶ Κοντάκιον *Ἐν τοῖς ῥείθροις σήμερον*· μετὰ τὸ τέλος τοῦ Ἁγιασμοῦ, ἁγιαζομένων τῶν Χριστιανῶν, ὁ δ΄ Χορὸς ψάλλει τὸ Ἰδιόμελον *Ἀνυμνήσωμεν οἱ πιστοὶ* καὶ Ἀπόλυσις. Ἐν τῇ τραπέζῃ κατάλυσις οἴνου καὶ ἐλαίου.

Τῇ Ϛ΄.—Τὰ ἅγια Θεοφάνεια τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

ΠΕΡΙΠΤΩΣΕΙΣ.

Α΄.

1. Εἰ τύχοι ἡ ἑορτὴ τῶν Θεοφανείων ἐν ἡμέρᾳ Παρασκευῇ, τῇ Πέμπτῃ πρωΐ, μετὰ τὴν τοῦ Ὄρθρου ἐνδιάτακτον Ἀκολουθίαν, ψάλλονται αἱ Μ. Ὧραι κατὰ τὴν τάξιν τῆς Παραμονῆς τῶν Χριστουγέννων (Ὅρα ἐκεῖ τὴν διάταξιν ἐν περιπτώσει Α΄ § 2). Ὁ δὲ Μ. Ἑσπερινὸς καὶ ἡ Λειτουργία τοῦ Μ. Βασιλείου μετὰ τοῦ ἐν τῷ τέλει τῆς Λειτουργίας Ἁγιασμοῦ ψάλλονται ὡς ἐξῆς.

Ὁ Μέγας Ἑσπερινὸς καὶ ἡ Λειτουργία τοῦ Μεγάλου Βασιλείου.

2. Μετὰ τὴν τῆς Θ΄ Ὥρας ἀπόλυσιν, ὁ Διάκονος *Εὐλόγησον Δέσποτα*, ὁ Ἱερεὺς *Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς* κτλ. ὁ Πατριάρχης (ἢ ὁ Ἀρχιερεὺς) τὸν Προοιμιακὸν, εἶτα ὁ Διάκονος τὴν Μ. Συναπτήν. Εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὰ δ΄ Ἰδιόμελα *Τὸν φωτισμὸν ἡμῶν*. εἰς Ϛ΄. Δόξα Καὶ νῦν *Ὑπέκλινας κάραν τῷ Προδρόμῳ*. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν*, καὶ εὐθὺς ὁ Ἀναγνώστης τὰ Ἀναγνώσματα *Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν Οὐρανὸν καὶ τὴν γῆν*· μετὰ τὸ τέλος ἄρχεται ὁ Α΄ Χορὸς ψάλλειν τὸ Τροπάριον *Ἐπεφάνης ἐν τῷ κόσμῳ* ὁλόκληρον· ὁ δ΄ ἐπαναλαμβάνει *Ἵνα φωτίσῃς τοὺς ἐν σκότει καθημένους, Φιλάνθρωπε, δόξα σοι*, ὅπερ ἐπαναλαμβάνεται ἑκατέρωθεν, ἕως οὗ ὁ Κανονάρχης πληρώσῃ τοὺς Στίχους τοῦ ψαλμοῦ. Εἶτα αὖθις ὁ α΄ Χορὸς Δόξα Καὶ νῦν τὸ Τροπάριον ὁλόκληρον. Μετὰ ταῦτα ὁ β΄ Κανονάρχης ἀναγινώσκει τὸ Ε΄ Ἀνάγνωσμα *Εἶπεν Ἠλίας τῷ Ἐλισσαιέ*· μετὰ τὸ τέλος ὁ δ΄ Χορὸς ψάλλει *Ἁμαρτωλοῖς καὶ τελώναις* ὁλόκληρον· ἀπὸ δὲ τοῦ *Ποῦ γὰρ εἶχε τὸ Φῶς σου λάμψαι*, ἐπαναλαμβάνεται ἐναλλὰξ ὑπὸ τῶν δύο Χορῶν, ἕως οὗ ὁ Κανονάρχης πληρώσῃ τοὺς Στίχους τοῦ ψαλμοῦ· ὁ Α΄ αὖθις Κανονάρχης τὸ Ϛ΄ Ἀνάγνωσμα *Παρεγένετο Νεεμὰν ἄρχων βασιλέως Ἀσσυρίων* καὶ μετὰ τὸ τέλος τὴν μικρὰν Συναπτὴν *Τοῦ Κυρίου δεηθῶμεν*, καὶ ψάλλεται τὸ Τρισάγιον, εἶτα λέγεται ὁ Ἀπόστολος, καὶ μετὰ τὸ Ἀλληλούϊα τὸ Εὐαγγέλιον ἀπ΄ ἄμβωνος καὶ καθεξῆς ἡ Λειτουργία τοῦ Μ. Βασιλείου. Κοινωνικὸν *Αἰνεῖτε τὸν Κύριον* καὶ τὸ *Εἴδομεν τὸ φῶς*. Μετὰ τὴν Ὀπισθάμβωνον Εὐχὴν, ψάλλονται τὰ Ἰδιόμελα *Φωνὴ Κυρίου* καὶ τελεῖται ὑπὸ τοῦ λειτουργοῦντος Ἱερέως ὁ Ἁγιασμὸς, ὡς εἴθισται, κατὰ τὴν ἐν τῷ Μηναίῳ διάταξιν. Μετὰ τὸ τέλος τοῦ Ἁγιασμοῦ, ἁγιαζομένων τῶν Χριστιανῶν, ὁ β΄ Χορὸς ψάλλει τὸ Ἰδιόμελον *Ἀνυμνήσωμεν οἱ πιστοὶ*, καὶ μετὰ τοῦτο ἡ Ἀπόλυσις *Δόξα σοι . . . ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν Χριστός . . .* Ἐν δὲ τῇ τραπέζῃ ξηροφαγία.

3. Τῇ Παρασκευῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ψάλλονται ἡ Λιτὴ καὶ τὰ Ἰδιόμελα τῶν Ἀποστίχων (καθὸ μὴ ψαλέντα χθές)· εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἐν Ἰορδάνῃ*, καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ *Ἐν Ἰορδάνῃ* ἐκ τρίτου, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος *Αἰνεῖτε τὸ ὄνομα Κυρίου*, εἶτα τὰ γ΄ Καθίσματα, οἱ Ἀναβαθμοὶ, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἦχου, τὸ Προκείμενον *Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν*, τὸ Πᾶσα πνοὴ καὶ τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου, ο Ν΄ ψαλμὸς χῦμα, Δόξα *Τὰ σύμπαντα σήμερον ἀγαλλιάσθω*, Καὶ νῦν τὸ αὐτό· ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Θεὸς λόγος ἐπεφάνη ἐν σαρκὶ*, οἱ Κανόνες ἀμφότεροι ἀνὰ δ΄ ἄνευ Στίχου, εἰμὴ μόνον Δόξα Καὶ νῦν ἐν ἑκάστῃ Ὠδῇ, ἀπὸ γ΄ Ὠδῆς ἡ Ὑπακοὴ *Ὅτε τῇ ἐπιφανείᾳ σου*, ἀφ΄ ς΄ τὸ Κοντάκιον, ὁ Οἶκος καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι διπλαῖ, καὶ ψάλλεται ἡ Θ΄ Ὠδὴ μετὰ τῶν Μεγαλυναρίων·

Διὰ τὸν Α΄ Κανόνα.

Μεγάλυνον ψυχή μου, τὴν τιμιωτέραν, τῶν ἄνω στρατευμάτων.

Μεγάλυνον ψυχή μου, τὸν ἐν Ἰορδάνῃ, ἐλθόντα βαπτισθῆναι.

Μεγάλυνον ψυχή μου, τὸν ὑπὸ Προδρόμου, τὸ βάπτισμα αἰτοῦντα.

Μεγάλυνον ψυχή μου, τὸν ἐκ τῆς Πατρῴας, φωνῆς μαρτυρηθέντα.

Διὰ τὸν Β΄ Ἰαμβικόν.

Σήμερον ὁ Δεσπότης, κλίνει τὸν αὐχένα, χειρὶ τῇ τοῦ Προδρόμου.

Σήμερον Ἰωάννης, βαπτίζει τὸν Δεσπότην, ἐν ῥείθροις Ἰορδάνου.

Δόξα. **Μεγάλυνον ψυχή μου, τῆς τρισυποστάτου, καὶ ἀδιαιρέτου, Θεότητος τὸ κράτος.**

Καὶ νῦν. **Μεγάλυνον ψυχή μου, τὴν λυτρωσαμένην, ἡμᾶς ἐκ τῆς κατάρας.**

Τὸ Ἐξαποστειλάριον ἐκ γ΄. Εἰς τοὺς Αἴνους, τὰ Ἰδιόμελα *Φῶς ἐκ φωτὸς εἰς ς΄*, Δόξα *Νάματα Ἰορδάνεια*, Καὶ νῦν *Σήμερον ὁ Χριστὸς* καὶ ἡ Μεγάλη Δοξολογία.

Μετὰ τὸ *Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς* τοῦ Τρισαγίου τῆς Δοξολογίας, ψάλλονται τὰ γ΄ Ἰδιόμελα τοῦ Ἁγιασμοῦ[4] *Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων*, Δόξα Καὶ νῦν *Πρὸς τὴν φωνὴν τοῦ βοῶντος ἐν τῇ ἐρήμῳ*. Τούτων ψαλλομένων, ἐξέρχεται ὁ Ἱερεὺς ἀπὸ τῆς

4. *Ἔν τισι μέρεσιν ἤρξατο ἡ συνήθεια τοῦ τελεῖν τὸν Ἁγιασμὸν μετὰ τὸ τέλος τῆς Λειτουργίας, τὸ μὲν διότι ἐγίνετο ἀταξία τις μετὰ τὸν Ἁγιασμὸν καὶ οἱ πλείους τῶν ἐκκλησιαζομένων ἀνεχώρουν, τὸ δὲ καὶ διότι μέγα μέρος τοῦ λαοῦ καθυστεροῦν ἐστερεῖτο τῆς τοῦ Ἁγιασμοῦ τελετῆς.*

Ὡραίας Πύλης μετὰ τοῦ τιμίου Σταυροῦ προπορευομένων λαμπάδων καὶ τῶν Διακόνων, ὁ δὲ Πατριάρχης (ἢ ὁ Ἀρχιερεὺς) κατέρχεται τοῦ Θρόνου καὶ ἔρχεται ἐν τῷ μέσῳ τοῦ Ναοῦ, ἔνθα κεῖται ἡ τράπεζα καὶ τὸ δοχεῖον τοῦ Ἁγιασμοῦ, φορῶν ἐπιτραχήλιον καὶ ὠμόφορον. Μετὰ τὸ τέλος τῶν Ἰδιομέλων ὁ Κανονάρχης ἢ ὁ Διάκονος εὐθὺς ἀναγινώσκει τὰς τρεῖς Προφητείας τοῦ Ἁγιασμοῦ καὶ ἀκολούθως τὸν Ἀπόστολον, ὁ δὲ Πατριάρχης τὸ Εὐαγγέλιον· μετὰ τὸ *Εἰς πολλὰ ἔτη*, ὁ Μ. Ἀρχιδιάκονος τὴν μεγάλην Συναπτὴν τοῦ Ἁγιασμοῦ, τοῦ Πατριάρχου μεταξὺ τούτου ἀναγινώσκοντος μυστικῶς τὴν Εὐχὴν *Κύριε Ἰησοῦ Χριστέ*· πληρωθείσης τῆς Εὐχῆς συνάμα καὶ τῆς Συναπτῆς, ἐκφωνεῖ τὴν Εὐχὴν *Τριὰς ὑπερούσιε*, ἐπισυνάπτων μετὰ τὸ τέλος ταύτης καὶ τὴν ἑτέραν Εὐχὴν *Μέγας εἶ Κύριε καὶ θαυμαστὰ τὰ ἔργα σου*, ὃ ἐπαναλαμβάνει τρὶς, κατὰ πᾶσαν δὲ ἐπανάληψιν οἱ Χοροὶ ψάλλουσι τὸ *Δόξα σοι Κύριε δόξα σοι*· μετὰ τὸ τέλος τῆς Εὐχῆς, βαπτίζει τὸν τίμιον Σταυρὸν μετὰ τοῦ ἁγιαστῆρος ἐν τῷ δοχείῳ εἰς τρεῖς ἀναδύσεις καὶ καταδύσεις ψάλλων τὸ *Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε*, ὅπερ ἐπαναλαμβάνουσι καὶ οἱ Χοροὶ ἀνὰ μίαν, εἶτα ἁγιάζων σταυροειδῶς τὸν λαὸν καὶ ψάλλων τὸ *Ἐπεφάνης σήμερον τῇ οἰκουμένῃ*, ἀνέρχεται εἰς τὸν Θρόνον, τῶν Χορῶν ψαλλόντων τὸ *Εἰς πολλὰ ἔτη*· ἁγιαζομένων δὲ τῶν Ἀρχιερέων καὶ τῶν λοιπῶν κληρικῶν ὑπὸ τοῦ Πατριάρχου, οἱ Χοροὶ ψάλλουσιν ἐναλλὰξ ἀργῶς καὶ μετὰ μέλους τὸ Τροπάριον τῆς η΄ Ὠδῆς *Τριάδος ἡ φανέρωσις*, ἄχρις οὗ ἁγιασθῶσι πάντες, εἶτα ὁ 6΄ Χορὸς τὸ Ἀπολυτίκιον *Ἐν Ἰορδάνῃ* καὶ ἄρχεται ἡ Λειτουργία τοῦ Χρυσοστόμου.

4. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα·

Ἀντίφωνον α΄ Ἦχος β΄.

Ἐν ἐξόδῳ Ἰσραὴλ ἐξ Αἰγύπτου, οἴκου Ἰακώβ.
Ἐγεννήθη Ἰουδαία ἁγίασμα αὐτοῦ.
Ἡ θάλασσα εἶδε καὶ ἔφυγεν· ὁ Ἰορδάνης ἐστράφη εἰς τὰ ὀπίσω.
Τί σοί ἐστι θάλασσα, ὅτι ἔφυγες; καὶ σὺ Ἰορδάνη, ὅτι ἐστράφης εἰς τὰ ὀπίσω;

Ταῖς πρεσβείαις τῆς Θεοτόκου κτλ.

Δόξα Καὶ νῦν **Ταῖς πρεσβείαις τῆς Θεοτόκου** κτλ.

Ἀντίφωνον 6' Ἦχος 6'.

Ἠγάπησα, ὅτι εἰσακούσεται Κύριος τῆς φωνῆς τῆς δεήσεώς μου.

Ὅτι ἔκλινε τὸ οὖς αὐτοῦ ἐμοί, καὶ ἐν ταῖς ἡμέραις μου ἐπικαλέσομαι.

Περιέσχον με ὠδῖνες θανάτου, κίνδυνοι ᾅδου εὗρόσάν με.

Ἐλεήμων ὁ Κύριος καὶ δίκαιος, καὶ ὁ Θεὸς ἡμῶν ἐλεεῖ.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου βαπτισθεὶς κτλ.

Δόξα Καὶ νῦν **Ὁ Μονογενὴς** κτλ.

Ἀντίφωνον γ' Ἦχος α'.

Ἐξομολογεῖσθε τῷ Κυρίῳ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Εἰπάτω δὴ οἶκος Ἰσραὴλ, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Εἰπάτω δὴ οἶκος Ἀαρὼν, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Εἰπάτωσαν δὴ πάντες οἱ φοβούμενοι τὸν Κύριον, ὅτι ἀγαθὸς, ὅτι εἰς τὸν αἰῶνα τὸ ἔλεος αὐτοῦ.

Ἐν Ἰορδάνῃ βαπτιζομένου σου Κύριε κτλ.

Εἰσοδικὸν *Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Σῶσον ἡμᾶς . . .* κτλ. τὸ Ἀπολυτίκιον *Ἐν Ἰορδάνῃ*, καὶ τὸ Κοντάκιον *Ἐπεφάνης σήμερον*· ἀντὶ τοῦ Τρισαγίου, ψάλλεται τὸ *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε*, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τῆς ἑορτῆς. Εἰς τὸ Ἐξαιρέτως, *Μεγάλυνον ψυχή μου τὴν τιμιωτέραν καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων*· *Ἀπορεῖ πᾶσα γλῶσσα*, Κοινωνικὸν *Ἐπέφανε ἡ χάρις τοῦ Θεοῦ*· ἀντὶ τοῦ *Εἴδομεν τὸ φῶς*, λέγεται τὸ *Ἐν Ἰορδάνῃ*, καὶ Ἀπόλυσις.

Ἡ Σύναξις τοῦ τιμίου Προδρόμου.

5. Τῇ αὐτῇ Παρασκευῇ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα*, ψάλλομεν Ἰδιόμελα τῆς ἑορτῆς *Τὸν φωτισμὸν ἡμῶν γ'* καὶ τοῦ Προδρόμου Προσόμοια *Παρεύφημε Πρόδρομε Χριστοῦ γ'*, Δόξα *Ἔνσαρκε Λύχνε*, Καὶ νῦν *Θεὸς λόγος ἐπεφάνη ἐν σαρκὶ*, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Μ. Προκείμενον *Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ*, μετὰ τῶν Στίχων αὐτοῦ. Εἰς τὰ Ἀπόστιχα, τὰ γ' Στιχηρὰ Προσόμοια *Ὡς εἶδέ σε Δέσποτα* καὶ τὰ ἕτερα δ', Δόξα *Ὡς τοῦ πνεύματος ἐραστὴς*, Καὶ νῦν *Δεῦτε μιμησώμεθα*, τὸ Ἀπολυτίκιον *Ἐν Ἰορδάνῃ*, τὸ τοῦ Προδρόμου *Μνήμη δικαίου μετ' ἐγκωμίων*, αὖθις *Ἐν Ἰορδάνῃ* καὶ Ἀπόλυσις.

6. Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, τὸ Ἀπολυτίκιον τοῦ Προδρόμου καὶ ὁ Ἐξάψαλμος· εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον τῆς ἡμέρας, τὰ δ' Καθίσματα *Τοῦ Ἰησοῦ γεννηθέντος* καὶ τὸ *Ἐν τοῖς ῥείθροις βλέψας σε τοῦ Ἰορδάνου ἐκ δευτέρου*, καὶ ὁ Ν' ψαλμὸς χῦμα, ὁ Κανὼν τῆς ἑορτῆς *Βυθοῦ ἀνεκάλυψε* μετὰ Στίχου *Δόξα σοι ὁ Θεὸς* καὶ ὁ τοῦ Προδρόμου *Βαπτιζόμενον*, μετὰ Στίχου *Ἅγιε τοῦ Θεοῦ*· ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα *Ὁ μέγας ὑετὸς* καὶ ἕτερον *Ἐκὼν προῆλθεν ἐπὶ γῆς*· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Προδρόμου καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι μόναι αἱ Ἰαμβικαὶ, εἶτα ψάλλεται ἡ α' Ὠδὴ τῆς Θ' μετὰ τῶν Μεγαλυναρίων καὶ ἡ τοῦ Προδρόμου μετὰ Στίχου *Ἅγιε τοῦ Θεοῦ*, καὶ ἡ Καταβασία *Μεγάλυνον ψυχή μου . . . Ὦ τῶν ὑπὲρ νοῦν*· Ἐξαποστειλάριον τοῦ Προδρόμου καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, τὰ Ἰδιόμελα τῆς ἑορτῆς ὡς χθὲς, Δόξα *Ἄγγελος ἐκ στειρωτικῶν ὠδίνων*, Καὶ νῦν *Σήμερον ὁ Χριστὸς ἐν Ἰορδάνῃ*, Δοξολογία Μεγάλη καὶ τὸ *Μνήμη δικαίου*.

7. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς ὡς χθὲς, Εἰσοδικὸν, *Εὐλογημένος ὁ ἐρχόμενος*, τὰ Ἀπολυτίκια *Ἐν Ἰορδάνῃ*, *Μνήμη δικαίου* καὶ τὸ Κοντάκιον *Ἐπεφάνης σήμερον* ἀντὶ τοῦ Τρισαγίου *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε*, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τοῦ Προδρόμου. Εἰς τὸ Ἐξαιρέτως, *Μεγά-*

λυτον ψυχή μου . . . Ὦ τῶν ὑπὲρ νοῦν, Κοινωνικὸν *Εἰς μνημόσυνον αἰώνιον,* τὸ *Ἐν Ἰορδάνῃ* καὶ Ἀπόλυσις.

Κυριακὴ μετὰ τὰ Φῶτα.

8. Τῷ αὐτῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ ς΄ καὶ μεθέορτα δ΄ τῆς σειρᾶς. Δόξα *Κύριε πληρῶσαι βουλόμενος* (ζήτει Δόξα τῆς Λιτῆς), Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρά, Δόξα Καὶ νῦν *Σήμερον ἡ κτίσις φωτίζεται* (ζήτει εἰς τὴν Λιτὴν), Ἀπολυτίκια τὸ Ἀναστάσιμον *Ἐν Ἰορδάνῃ* καὶ Ἀπόλυσις.

9. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν,* εἶτα τὸ Τρισάγιον, τὸ *Ἐν Ἰορδάνῃ* καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος,* τὸ ἀναστάσιμον Ἀπολυτίκιον δὶς, καὶ τὸ *Ἐν Ἰορδάνῃ* ἅπαξ, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα καὶ τὰ τῆς ἑορτῆς ἀντὶ τῶν Θεοτοκίων. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ α΄ τῆς ἑορτῆς μετὰ Στίχου *Δόξα σοι ὁ Θεὸς,* ἀπὸ γ΄ Ὠδῆς Κάθισμα μεθέορτον, ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Στίβει θαλάσσης* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν,* Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ μεθέορτα δ΄, Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη,* Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία.*

10. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ δ΄ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Κανόνος τῆς ἑορτῆς. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ *Ἐν Ἰορδάνῃ,* καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ. Κοντάκιον *Ἐπεφάνης σήμερον,* Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς μετὰ τὰ Φῶτα. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν,* Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Ἡ Ἀπόδοσις.

11. Ἡ Ἀπόδοσις τῆς ἑορτῆς κατὰ τὴν περίπτωσιν ταύτην συμπίπτει τῷ Σαββάτῳ τῆς προσεχοῦς ἑβδομάδος, ἐν ᾧ ψάλλονται

ἅπαντα τὰ τῆς ἑορτῆς, ἐξαιρουμένων ἐν τῷ Ἑσπερινῷ τῶν Ἀναγνωσμάτων, ἐν τῷ Ὄρθρῳ τῆς Λιτῆς, τοῦ Πολυελέου καὶ τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου. Ἐν δὲ τῇ Λειτουργίᾳ Ἀπόστολος καὶ Εὐαγγέλιον λέγονται τοῦ Σαββάτου μετὰ τὰ Φῶτα.

Β΄.

12. Εἰ τύχοι ἡ ἑορτὴ τῶν Θεοφανείων ἐν Σαββάτῳ, τῇ Παρασκευῇ πρωὶ μετὰ τὴν τοῦ Ὄρθρου ἐνδιάτακτον Ἀκολουθίαν, ψάλλονται αἱ Μ. Ὧραι κατὰ τὴν ἐν περιπτώσει Α΄ § 1 διάταξιν τῆς Παραμονῆς τῶν Χριστουγέννων. Ὁ δὲ Μ. Ἑσπερινὸς, ἡ Λειτουργία τοῦ Μ. Βασιλείου καὶ ὁ ἐν τῷ τέλει τῆς Λειτουργίας Ἁγιασμὸς, ψάλλονται ὡς εἴρηται ἀνωτέρω ἐν περιπτώσει Α΄ § 2 τῆς παρούσης ἑορτῆς.

13. Τῷ Σαββάτῳ, ἡ Ἀκολουθία τοῦ Ὄρθρου, τῆς ἑορτῆς, τοῦ Μ. Ἁγιασμοῦ καὶ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου ψάλλονται κατὰ τὴν ἐν περιπτώσει Α΄ § 3 διάταξιν.

Κυριακὴ μετὰ τὰ Φῶτα, καὶ ἡ Σύναξις τοῦ τιμίου Προδρόμου.

14. Τῷ αὐτῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ΄, τῆς ἑορτῆς γ΄, τοῦ Προδρόμου γ΄. Δόξα *Ἔνσαρκε λύχνε,* Καὶ νῦν *Θεὸς λόγος ἐπεφάνη ἐν σαρκί.* Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Μ. Προκείμενον *Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ* μετὰ τῶν Στίχων αὐτοῦ. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρά. Δόξα *Ὡς τοῦ πνεύματος ἐραστὴς,* Καὶ νῦν *Δεῦτε μιμησώμεθα·* τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Προδρόμου *Μνήμη δικαίου,* τὸ *Ἐν Ἰορδάνῃ* καὶ Ἀπόλυσις.

15. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ *Ἄξιόν ἐστιν,* εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Προδρόμου καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ ἀναστάσιμα Καθίσματα καὶ ἀνὰ ἓν τῆς ἑορτῆς *Τοῦ Ἰησοῦ γεννηθέντος* καὶ *Ἐν τοῖς ῥείθροις βλέψας σε τοῦ Ἰορδά-*

νου· τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ τοῦ ἤχου, οἱ Ἀναβαθμοὶ καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος, ὁ τῆς ἑορτῆς μετὰ Στίχου *Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι* καὶ ὁ τοῦ Προδρόμου μετὰ Στίχου *Ἅγιε τοῦ Θεοῦ*· ἀπὸ γ' Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, εἶτα τὸ Κάθισμα τοῦ Προδρόμου *Ὁ μέγας ὑετὸς* καὶ τὸ *Ἐκὼν προῆλθεν ἐπὶ γῆς*· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Προδρόμου καὶ τὸ Μηνολόγιον· αἱ Καταβασίαι *Στίβει θαλάσσης* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα ψάλλεται ἡ Θ' Ὠδὴ τῆς ἑορτῆς *Ἀπορεῖ πᾶσα γλῶσσα* μετὰ τῶν Μεγαλυναρίων, καὶ ἡ τοῦ Προδρόμου μετὰ Στίχου *Ἅγιε τοῦ Θεοῦ*. Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον τοῦ Προδρόμου καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ' καὶ τῆς ἑορτῆς *Φῶς ἐκ φωτὸς δ'*. Δόξα *Ἄγγελος ἐκ στειρωτικῶν ὠδίνων*, Καὶ νῦν *Ὑπερευλογημένη* Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

16. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς ὡς χθές· εἰς τὸ δεύτερον *Σῶσον ἡμᾶς . . . ὁ ἐν Ἰορδάνῃ ὑπὸ Ἰωάννου . . .* Μετὰ τὴν Εἴσοδον *Δεῦτε προσκυνήσωμεν . . . ὁ ἀναστὰς ἐκ νεκρῶν*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Προδρόμου καὶ τῆς ἑορτῆς. Κοντάκιον *Ἐπεφάνης σήμερον* ἀντὶ τοῦ Τρισαγίου, τὸ *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε*. Ἀπόστολος καὶ Εὐαγγέλιον[5] τοῦ Προδρόμου. Εἰς τὸ Ἐξαιρέτως *Μεγάλυνον ψυχή μου ... Ὦ τῶν ὑπὲρ νοῦν*, Κοινωνικὸν *Εἰς μνημόσυνον*, τὸ *Ἐν Ἰορδάνῃ* καὶ Ἀπόλυσις.

Ἡ Ἀπόδοσις.

17. Ἡ Ἀπόδοσις τῆς ἑορτῆς συμπίπτει κατὰ τὴν περίπτωσιν ταύτην τῇ Κυριακῇ τῆς προσεχοῦς ἑβδομάδος (ΙΔ' τοῦ μηνός)· ἡ δὲ Ἀκολουθία ψάλλεται ὡς ἑξῆς. Τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν

5. *Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς μετὰ τὰ Φῶτα λέγονται τῇ ἐλευσομένῃ Κυριακῇ, ὅτε συμπίπτει καὶ ἡ τῆς ἑορτῆς τῶν Θεοφανείων Ἀπόδοσις. Ἐὰν ὅμως συμπέσῃ τῇ ΙΔ' τοῦ μηνὸς ἡ τοῦ Τριῳδίου ἀρχή, ἐν τοιαύτῃ περιπτώσει, τῇ Ζ' τοῦ μηνὸς Ἀπόστολος λέγεται τοῦ Προδρόμου, καὶ Εὐαγγέλιον τῆς Κυριακῆς μετὰ τὰ φῶτα.*

Προοιμιακὸν, καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ' καὶ τῆς ἑορτῆς *Τὸν φωτισμὸν ἡμῶν* ς'. Δόξα *Ὑπέκλινας κάραν*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν *Τὸν ἐκ Παρθένου ἥλιον*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς ὃς καὶ Ἀπόλυσις.

18. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἐν Ἰορδάνῃ* καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς ἐν τῷ Ἑσπερινῷ, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα καὶ τὰ τῆς ἑορτῆς, ἀντὶ τῶν Θεοτοκίων· τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ τοῦ ἤχου, οἱ Ἀναβαθμοὶ καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ οἱ δύο τῆς ἑορτῆς μετὰ Στίχου *Δόξα σοι ὁ Θεός*· ἀπὸ γ' Ὠδῆς ἡ Ὑπακοὴ τῆς ἑορτῆς *Ὅτε τῇ ἐπιφανείᾳ σου*· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας· αἱ Καταβασίαι διπλαῖ καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα ψάλλονται καὶ οἱ δύο τῆς θ' Ὠδῆς Κανόνες μετὰ τῶν Μεγαλυναρίων. Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον καὶ τὸ τῆς ἑορτῆς δίς. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ' καὶ τῆς ἑορτῆς *Φῶς ἐκ φωτὸς δ'*. Δόξα *Νάματα Ἰορδάνεια*, Καὶ νῦν *Ὑπερευλογημένη*. Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

19. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς εἰς δ' *Ὁ ἐν Ἰορδάνῃ*, τὸ Εἰσοδικὸν τῆς ἑορτῆς μετὰ τοῦ *Ὁ ἀναστὰς ἐκ νεκρῶν*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ *Ἐν Ἰορδάνῃ* καὶ τὸ Κοντάκιον *Ἐπεφάνης σήμερον*, τὸ Τρισάγιον, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς μετὰ τὰ Φῶτα (διότι τῇ παρελθούσῃ Κυριακῇ ἀνεγνώσθησαν Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Προδρόμου). Εἰς τὸ Ἐξαιρέτως *Μεγάλυνον ψυχή μου . . . Ὦ τῶν ὑπὲρ νοῦν*, Κοινωνικὸν *Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ*, τὸ *Ἐν Ἰορδάνῃ* καὶ Ἀπόλυσις.

Γ'.

20. Εἰ τύχοι ἡ ἑορτὴ τῶν Θεοφανείων ἐν Κυριακῇ, τῇ Παρασκευῇ πρωὶ (Δ' τοῦ μηνὸς) μετὰ τὴν τοῦ Ὄρθρου ἐνδιάτακτον Ἀκολουθίαν, ψάλλονται αἱ Μ. Ὧραι μόναι καὶ λέγομεν Τροπάριον

Ἑτοιμάζου Ζαβουλὼν καὶ Κοντάκιον *Ἐν τοῖς ῥείθροις σήμερον*· μετὰ δὲ τὴν Εὐχὴν τῆς Θ΄ Ὥρας ἡ Ἀπόλυσις. Ἐν τῇ τραπέζῃ κατάλυσις εἰς πάντα.

21. Τῇ αὐτῇ Παρασκευῇ ἑσπέρας, ψάλλεται ὁ Προεόρτιος Ἑσπερινὸς κατὰ τὴν διάταξιν τοῦ Μηναίου· μετὰ τὸ *Νῦν ἀπολύεις*, ψάλλεται ὁ Κανὼν, καὶ μετὰ τὸν Εἱρμὸν τῆς Θ΄ Ὠδῆς τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἀπεστρέφετό ποτε*, καὶ Ἀπόλυσις.

22. Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον, μετὰ τὸ Μεσονυκτικὸν κτλ. ἀναγινώσκονται χῦμα τὰ Καθίσματα, ὁ Προεόρτιος Κανὼν καὶ ὁ τῶν Ἁγίων τῆς ἡμέρας. Εἶτα ψάλλονται αἱ Καταβασίαι *Βυθοῦ ἀνεκάλυψε πυθμένα*, καὶ ἀκολούθως στιχολογοῦμεν *Τὴν τιμιωτέραν* καὶ τὸ Προεόρτιον Ἐξαποστειλάριον δίς. Εἰς τοὺς Αἴνους, τὰ δ΄ τῆς ἡμέρας Προσόμοια *Τί ἀμφιγνοεῖς Βαπτιστὰ Οἰκονομίαν*; Δοξα Καὶ νῦν *Ἰωάννη Βαπτιστὰ* (ζήτει εἰς τὰ Ἀπόστιχα τῶν Αἴνων), Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον *Ἀπεστρέφετό ποτε*.

23. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ, Τροπάρια ἐκ τῆς γ΄ καὶ ς΄ Ὠδῆς τοῦ προεορτίου Κανόνος. Μετὰ τὴν Εἴσοδον, *Δεῦτε προσκυνήσωμεν . . . ὁ ἐν Ἁγίοις θαυμαστὸς*, τὸ Προεόρτιον Ἀπολυτίκιον, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Ἐν τοῖς ῥείθροις σήμερον*, Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Σαββάτου πρὸ τῶν Φώτων. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν τῆς ἡμέρας, καὶ τὸ *Εἴδομεν τὸ φῶς*. Μετὰ τὸ *Εἴη τὸ ὄνομα Κυρίου*, ψάλλονται τὰ Ἰδιόμελα τοῦ Ἁγιασμοῦ *Φωνὴ Κυρίου ἐπὶ τῶν ὑδάτων* κτλ. καὶ τελεῖται ὁ Ἁγιασμὸς κατὰ τὴν ἐν τῷ Μηναίῳ διάταξιν. Ἐν τῇ τραπέζῃ κατάλυσις οἴνου καὶ ἐλαίου.

24. Τῷ αὐτῷ Σαββάτῳ ἑσπέρας, ψάλλεται ὁ Μ. τῆς ἑορτῆς Ἑσπερινὸς, ἐν ᾧ οὐδὲν τῶν Ἀναστασίμων ψάλλομεν, ἀλλ΄ ἅπαντα τῆς ἑορτῆς ὡς ἐξῆς. Μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὰ Ἰδιόμελα *Τὸν φωτισμὸν ἡμῶν* εἰς ς΄. Δόξα Καὶ νῦν *Ὑπέκλινας κάραν τῷ Προδρόμῳ*, Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα μετὰ τῶν Τροπαρίων καὶ τῶν Στίχων αὐτῶν, ὁ Ἀπόστολος, τὸ Εὐαγγέλιον καὶ τὰ λοιπὰ ὡς διετάχθησαν ἐν περιπτώσει Α΄ § 2. Εἰς τὰ Ἀπόστιχα, τὰ Ἰδιόμελα *Ἐν Ἰορδάνῃ ποταμῷ ἰδών σε ὁ Ἰωάννης* καὶ τὰ ἕτερα δύο, Δόξα Καὶ νῦν *Τὸν ἐκ Παρθένου ἥλιον*,

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἐν Ἰορδάνῃ* ἐκ τρίτου καὶ Ἀπόλυσις.

25. Τῇ Κυριακῇ ψάλλεται ἡ τῆς ἑορτῆς ἀκολουθία τοῦ Ὄρθρου, ὁ Μ. Ἁγιασμὸς, ἡ Λειτουργία τοῦ Μ. Βασιλείου ὡς διετάχθησαν ἐν περιπτώσει Α΄ § 3—4.

26. Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας καὶ τῇ Δευτέρᾳ πρωὶ ψάλλεται ἡ ἀκολουθία τοῦ τιμίου Προδρόμου ὡς διετάχθη ἐν περιπτώσει Α΄ § 5 6, 7. Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Προδρόμου, Κοινωνικὸν *Εἰς μνημόσυνον*.

Κυριακὴ μετὰ τὰ Φῶτα.

27. Ἡ Κυριακὴ μετὰ τὰ Φῶτα κατὰ τὴν Γ΄ ταύτην περίπτωσιν συμπίπτει τῇ ΙΓ΄ τοῦ μηνὸς, ψάλλεται δὲ ἡ Ἀκολουθία ὡς διετάχθη ἐν περιπτώσει Α΄ § 8, 9, 10.

Ἡ Ἀπόδοσις.

28. Ἡ Ἀπόδοσις συμπίπτει τῇ ἐπιούσῃ ἡμέρᾳ Δευτέρᾳ (ΙΔ΄ τοῦ μηνὸς), ἐν ᾗ ψάλλονται ἅπαντα τὰ τῆς ἑορτῆς, ὡς προδιετάχθη ἐν περιπτώσει Α΄ § 11. Ἀπόστολος καὶ Εὐαγγέλιον λέγονται τῆς ἡμέρας, Κοινωνικὸν *Ἐπεφάνη ἡ χάρις*, *Ἐν Ἰορδάνῃ* καὶ Ἀπόλυσις.

Δ΄.

29. Εἰ τύχοι ἡ ἑορτὴ ἐν Δευτέρᾳ, τῇ Παρασκευῇ πρωὶ (Γ΄ τοῦ μηνὸς), μετὰ τὴν τοῦ Ὄρθρου ἐνδιάτακτον Ἀκολουθίαν ψάλλονται αἱ Μ. Ὧραι μόναι καὶ λέγεται Τροπάριον *Ἑτοιμάζου Ζαβουλὼν* καὶ Κοντάκιον *Ἐν τοῖς ῥείθροις σήμερον*· μετὰ τὴν Εὐχὴν τῆς Θ΄ Ὥρας Ἀπόλυσις.

30. Τῇ αὐτῇ Παρασκευῇ ἑσπέρας, ψάλλεται ὁ Προεόρτιος Ἑσπερινὸς κατὰ τὴν τοῦ Μηναίου διάταξιν· μετὰ τὸ *Νῦν ἀπολύεις*, ὁ Προεόρτιος τοῦ Ἑσπερινοῦ Κανὼν, ὁ Εἱρμὸς τῆς Θ΄ Ὠδῆς, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἑτοιμάζου Ζαβουλὼν* καὶ Ἀπόλυσις.

31. Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον, μετὰ τὸ Μεσονυκτικὸν κτλ. εἰς τὸ *Θεὸς Κύριος*, τὸ Ἀπολυτίκιον *Ἑτοιμάζου Ζαβουλὼν* δίς, Κανόνες ὁ Προεόρτιος *Ὡς ἐν ἠπείρῳ πεζεύσας* καὶ ὁ τῶν Ο΄ Ἀποστόλων *Χριστῷ μαθητεύσαντες* (ζήτει τῇ Δ΄ τοῦ μηνὸς), ἀφ΄ ς΄

Κοντάκιον καὶ Οἶκος τὰ Προεόρτια καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας· εἶτα ὁ Εἱρμὸς τῆς η' Ὠδῆς καὶ στιχολογοῦμεν *Τὴν τιμιωτέραν*. Ἐξαποστειλάριον τῶν Ο' *Καταλιπόντες κόσμον* καὶ τὸ Προεόρτιον *Ὁ ἐκ Πατρὸς ἀχρόνως*, οἱ Αἶνοι, τὸ *Σοὶ δόξα πρέπει* καὶ τὰ Ἀπόστιχα. Εἰς τὴν Λειτουργίαν, Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Σαββάτου πρὸ τῶν Φώτων, Κοινωνικὸν *Μακάριοι οὓς ἐξελέξω*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

32. Τῷ Σαββάτῳ ἑσπέρας, καὶ τῇ Κυριακῇ πρωῒ ψάλλεται ἡ Ἀκολουθία τῆς Κυριακῆς πρὸ τῶν Φώτων μετὰ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου καὶ τοῦ Ἁγιασμοῦ, ὡς διετυπώθη ἐν περιπτώσει Β' § 4, 5, 6. Ἐν τῇ τραπέζῃ κατάλυσις οἴνου καὶ ἐλαίου.

33. Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας, ψάλλεται ὁ Μέγας Ἑσπερινὸς μετὰ τῶν Ἀναγνωσμάτων τῶν Τροπαρίων καὶ τῶν Στίχων αὐτῶν, τοῦ Ἀποστόλου, τοῦ Εὐαγγελίου, τῶν Ἀποστίχων καὶ λοιπῶν, ὡς διετάχθησαν ἐν περιπτώσει Γ' § 24.

34. Τῇ Δευτέρᾳ ψάλλεται ἡ Ἀκολουθία τῆς ἑορτῆς μετὰ τοῦ Μ. Ἁγιασμοῦ καὶ τῆς Λειτουργίας τοῦ Μ. Βασιλείου, ὡς εἴρηται ἐν περιπτώσει Α' § 3, 4.

35. Τῇ αὐτῇ Δευτέρᾳ ἑσπέρας καὶ τῇ τρίτῃ πρωῒ ψάλλεται ἡ Ἀκολουθία τοῦ τιμίου Προδρόμου, ὡς διετυπώθη ἐν περιπτώσει Α' § 5, 6, 7.

Ἡ Κυριακὴ μετὰ τὰ Φῶτα.

36. Ἡ Κυριακὴ μετὰ τὰ Φῶτα συμπίπτει κατὰ τὴν Δ' ταύτην περίπτωσιν τῇ ΙΒ' τοῦ μηνὸς καὶ ψάλλεται ἡ Ἀκολουθία ἐν τῷ Ἑσπερινῷ καὶ τῷ Ὄρθρῳ, ὡς διετυπώθη ἐν περιπτώσει Α' § 8, 9, 10.

Ἡ δὲ Ἀπόδοσις κατὰ τὴν περίστασιν ταύτην συμπίπτει τῇ Τρίτῃ τῆς προσεχοῦς ἑβδομάδος, καθ' ἣν ψάλλονται ὡς προερρέθη ἐν § 11, ἅπαντα τὰ τῆς ἑορτῆς· Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς ἡμέρας.

Ε'.

37. Εἰ τύχοι ἡ ἑορτὴ ἐν Τρίτῃ, Τετάρτῃ, ἢ Πέμπτῃ, τὴν διάταξιν τῆς Ἀκολουθίας τῶν Μ. Ὡρῶν, ἐν τῇ Παραμονῇ, τοῦ Μ. Ἑσπερινοῦ, τῆς Λειτουργίας τοῦ Μ. Βασιλείου καὶ τοῦ Ἁγιασμοῦ, ὅρα

ἐν περιπτώσει Α' § 1, 2. Τῆς δὲ κυρίας ἡμέρας τὴν τῆς Ἀκολουθίας τοῦ Ὄρθρου, τοῦ Μ. Ἁγιασμοῦ καὶ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου διάταξιν ὅρα ἐν περιπτώσει Α' § 3, 4.

Τὴν διάταξιν τῆς Ἀκολουθίας τοῦ τιμίου Προδρόμου τῇ ἐπιούσῃ ἡμέρᾳ, ὅρα ἐν τῇ αὐτῇ Α' περιπτώσει § 5, 6, 7. Ἡ δὲ Κυριακὴ μετὰ τὰ Φῶτα, κατὰ τὴν ἐν ἡμέρᾳ Τρίτῃ σύμπτωσιν τῆς ἑορτῆς, συμπίπτει τῇ ΙΑ' τοῦ μηνός, καθ' ἣν ἑορτάζεται καὶ ἡ μνήμη τοῦ Ὁσίου Θεοδοσίου τοῦ Κοινοβιάρχου. Τούτου ἡ Ἀκολουθία συμψάλλεται τῇ τῆς Κυριακῆς κατὰ τὴν ἐν § 39 διάταξιν.

Τῇ ΙΑ'.—Τοῦ ὁσίου Πατρὸς ἡμῶν Θεοδοσίου τοῦ Κοινοβιάρχου.

38. Εἰ τύχοι ἡ μνήμη τοῦ Ὁσίου ἐν ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία αὐτοῦ μετὰ τῶν μεθεόρτων ψάλλεται κατὰ τὴν διάταξιν τοῦ Μηναίου· ἂν δὲ συμπέσῃ ἐν Σαββάτῳ, Ἀπόστολος λέγεται τοῦ Ἁγίου καὶ Εὐαγγέλιον Σαββάτου μετὰ τὰ Φῶτα.

39. Εἰ τύχοι τῇ Κυριακῇ μετὰ τὰ Φῶτα, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ', μεθέορτα γ' *Εἶδες πῶς περίκειμαι* καὶ τοῦ Ὁσίου γ'. Δόξα μεθέορτον, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τοῦ Ὁσίου. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρά, Δόξα τοῦ Ὁσίου, Καὶ νῦν μεθέορτον· τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Ὁσίου, τῆς ἑορτῆς καὶ Ἀπόλυσις.

40. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ *Ἐν Ἰορδάνῃ* καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος· τὰ ἀναστάσιμα Καθίσματα καὶ τὰ τῆς ἑορτῆς ἀντὶ Θεοτοκίων· εἰς δὲ τὴν γ' Στιχολογίαν τὸ τοῦ Ὁσίου καὶ τὸ μεθέορτον· τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ τοῦ ἤχου, οἱ Ἀναβαθμοὶ καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος, ὁ τῆς ἑορτῆς, καὶ ὁ τοῦ Ὁσίου· ἀπὸ γ' Ὠδῆς Κάθισμα τοῦ Ὁσίου καὶ μεθέορτον· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας· αἱ Καταβασίαι *Στίβει θαλάσσης*, καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγε-

λίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, τὸ ἀναστάσιμον Ἐξαποστειλάριον, τοῦ Ὁσίου καὶ τὸ μεθέορτον *Βαβαὶ τῶν θείων ἔργων σου*. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ μεθέορτα δ΄ (ὅπου δ΄ ἐπισημότερον ἑορτάζεται ὁ Ὅσιος, λέγονται ἀντὶ τῶν μεθεόρτων οἱ Αἶνοι τοῦ Ἁγίου εἰς δ΄). Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*. Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

41. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ δ΄ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Κανόνος τῆς ἑορτῆς· μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῆς ἑορτῆς, τοῦ Ὁσίου καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ, Κοντάκιον *Ἐπεφάνης σήμερον*; Ἀπόστολος τοῦ Ὁσίου καὶ Εὐαγγέλιον τῆς Κυριακῆς μετὰ τὰ Φῶτα. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Κυριακὴ μετὰ τὰ Φῶτα μετὰ Τριῳδίου.

Σημ. Δεῖ γινώσκειν ὅτι τὸ Ἅγιον Πάσχα κατέρχεται μέχρι τῆς ΚΒ΄ τοῦ Μαρτίου μηνὸς, καὶ ἀνέρχεται μέχρι τῆς ΚΔ΄ τοῦ Ἀπριλίου, ἑπομένως καὶ τὸ Τριῴδιον ἄρχεται κατὰ μὲν τὴν πρώτην περίστασιν, τῇ ΙΑ΄ Ἰανουαρίου, κατὰ δὲ τὴν δευτέραν, τῇ ΙΓ΄ Φεβρουαρίου. Περὶ τούτου ὅρα τὸν Ἑορτοδρόμιον Πίνακα.

42. Εἰ τύχοι ἄρχεσθαι τὸ Τριῴδιον τῇ ΙΑ΄ Ἰανουαρίου καὶ συμπέσοι καὶ ἡ Κυριακὴ μετὰ τὰ Φῶτα, ἡ Ἀκολουθία ψάλλεται ὡς ἐφεξῆς. Τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ΄, τοῦ Τριῳδίου γ΄ καὶ τοῦ Ὁσίου Θεοδοσίου γ΄. Δόξα *Παντοκράτωρ Κύριε*, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τοῦ Ὁσίου. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Ὁσίου, Καὶ νῦν τὸ τοῦ Τριῳδίου· τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Ὁσίου, τὸ τῆς ἑορτῆς, καὶ Ἀπόλυσις.

43. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ *Ἐν Ἰορδάνῃ*, καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς ἐν τῷ Ἑσπερινῷ· εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος· τὰ ἀναστάσιμα Καθίσματα μετὰ τῶν μεθεόρτων ἀντὶ Θεοτοκίων, τὰ

Εὐλογητάρια, ἡ Ὑπακοὴ τοῦ ἤχου, οἱ Ἀναβαθμοὶ καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τοῦ Τριῳδίου μετὰ Στίχου *Δόξα σοι ὁ Θεὸς* καὶ ὁ τοῦ Ὁσίου· ἀπὸ γ΄ Ὠδῆς Κοντάκιον καὶ Οἶκος τῆς Ὀκτωήχου, εἶτα Κάθισμα τοῦ Ὁσίου καὶ τοῦ Τριῳδίου· ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τοῦ Τριῳδίου, τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας, καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου· αἱ Καταβασίαι *Στίβει θαλάσσης*, εἶτα τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου, τὸ *Ἀνάστασιν Χριστοῦ*, καὶ ψάλλεται ὁ Ν΄ ψαλμὸς, Δόξα *Τῆς μεταvοίας ἄνοιξόν μοι* καὶ τὰ λοιπὰ δύο Τροπάρια, τὸ *Σῶσον ὁ Θεὸς τὸν λαόν σου* καὶ Ἀκολούθως στιχολογοῦμεν *Τὴν τιμιωτέραν*. Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τὸ τοῦ Ὁσίου καὶ τὸ τοῦ Τριῳδίου. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ μεθέορτα δ΄ (ἐκτὸς ἂν ἐπισήμως ἑορτάζηται ὁ Ἅγιος, ὅτε καὶ λέγονται ἀντὶ τῶν μεθεόρτων Αἶνοι ἐκ τοῦ Ἁγίου). Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

44. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Κανόνος τοῦ Τριῳδίου δ΄. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς, τὸ τοῦ Ὁσίου καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ, Κοντάκιον *Ἐπεφάνης σήμερον*, ὁ Ἀπόστολος τῆς Κυριακῆς μετὰ τὰ Φῶτα καὶ τὸ Εὐαγγέλιον τοῦ Τελώνου καὶ Φαρισαίου. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

45. Εἰ τύχοι ἄρχεσθαι τὸ Τριῴδιον τῇ ΙΒ΄ ἢ τῇ ΙΓ΄ τοῦ μηνὸς, ἡ Ἀκολουθία τῆς Κυριακῆς μετὰ τὰ Φῶτα καὶ ἡ τοῦ Τριῳδίου ψάλλονται ὡς ἐφεξῆς· Τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ΄, τοῦ Τριῳδίου γ΄ καὶ μεθέορτα γ΄ *Ὕμνον τῶν μεθέορτον*, Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν μεθέορτον *Ὁρῶσά σε ἡ φύσις ἅπασα*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς καὶ Ἀπόλυσις.

46. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς Κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ *Ἐν Ἰορδάνῃ* καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ ἀναστάσιμον Ἀπολυτίκιον δὶς καὶ τὸ *Ἐν Ἰορδάνῃ* ἅπαξ, εἶτα τὸ Ψαλ-

τήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα μετὰ τῶν μεθεόρτων ἀντὶ Θεοτοκίων, τὰ Εὐλογητάρια, ἡ Ὑπακοή, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος, ὁ τοῦ Τριῳδίου καὶ ὁ τῆς ἑορτῆς· ἀπὸ γ' Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, Κάθισμα τοῦ Τριῳδίου καὶ μεθέορτον, ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Τριῳδίου, τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου, αἱ Καταβασίαι *Στίβει θαλάσσης* καὶ ἅπασα ἡ ἐν ταῖς Κυριακαῖς τοῦ Τριῳδίου διάταξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου (ὅρα τὴν διάταξιν ἐν § 43)· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον τοῦ Τριῳδίου καὶ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, ἀναστάσιμα Στιχηρὰ δ' καὶ μεθέορτα δ', Δόξα *Ταῖς ἐξ ἔργων καυχήσεσι*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. καὶ τὸ *Σήμερον σωτηρία*.

47. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τοῦ Τριῳδίου δ'. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ *Ἐν Ἰορδάνῃ*, τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Ἐπεφάνης σήμερον*, Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Τριῳδίου. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

48. Εἰ τύχοι ἄρχεσθαι τὸ Τριῴδιον τῇ ΙΔ' τοῦ μηνὸς, ἡ Ἀπόδοσις τῆς ἑορτῆς προψάλλεται τῇ ΙΓ' ἤτοι τῷ Σαββάτῳ, Ἀπόστολος καὶ Εὐαγγέλιον λέγεται τοῦ Σαββάτου μετὰ τὰ Φῶτα, ἡ δὲ τῆς Κυριακῆς τοῦ Τελώνου καὶ Φαρισαίου Ἀκολουθία μετὰ τῶν Ἀναστασίμων ψάλλεται ὡς εἴθισται (Ὅρα σημ. δ' ἐν περιπτώσει Β' § 16).

Σημειώσεις περὶ Ἀποστόλου καὶ Εὐαγγελίου.

Α'] Ἐὰν παρέλθῃ ἡ μετὰ τὰ Φῶτα Κυριακὴ καὶ μένῃ μία μόνη μέχρι τῆς Α' Κυριακῆς τοῦ Τριῳδίου, τῇ Κυριακῇ ταύτῃ Ἀπόστολον λέγομεν τῆς ΛΒ' Κυριακῆς καὶ Εὐαγγέλιον τοῦ Ζακχαίου.

Β'] Ἐὰν μεσολαβῶσι δύο Κυριακαὶ, τῇ μὲν Α' Ἀπόστολον λέγομεν τῆς ΚΘ' Κυριακῆς καὶ Εὐαγγέλιον τῶν Ι' Λεπρῶν, τῇ δὲ Β' Ἀπόστολον λέγομεν τῆς ΛΒ' Κυριακῆς καὶ Εὐαγγέλιον τοῦ Ζακχαίου.

Γ'] Ἐὰν μεσολαβῶσι τρεῖς, τῇ μὲν Α' Ἀπόστολον λέγομεν τῆς ΚΘ' Κυριακῆς καὶ Εὐαγγέλιον τῶν Ι' Λεπρῶν, τῇ δὲ Β' Ἀπόστολον τῆς ΛΒ' Κυριακῆς καὶ Εὐαγγέλιον τοῦ Ζακχαίου, καὶ τῇ Γ' Ἀπόστολον τῆς ΙΖ' Κυριακῆς καὶ Εὐαγγέλιον τῆς Χαναναίας.

Δ'] Ἐὰν δὲ μεσολαβῶσι τέσσαρες Κυριακαὶ, τῇ μὲν Α' Ἀπόστολον λέγομεν τῆς ΚΘ' Κυριακῆς καὶ Εὐαγγέλιον τῶν Ι' Λεπρῶν, τῇ δὲ Β' Ἀπόστολον τῆς ΛΒ' Κυριακῆς καὶ Εὐαγγέλιον Κυριακῆς ΙΓ' Λουκᾶ, τῇ Γ' Ἀπόστολον τῆς ΛΒ' Κυριακῆς καὶ Εὐαγγέλιον τοῦ Ζακχαίου καὶ τῇ Δ' Ἀπόστολον τῆς ΙΖ' Κυριακῆς καὶ Εὐαγγέλιον τῆς Χαναναίας.

Σημ. Δεῖ γινώσκειν ὅτι μετὰ τὴν ἀπόδοσιν τῆς ἑορτῆς τῶν Θεοφανείων, ὅταν τὸ Πάσχα ἐστὶν ὄψιμον καὶ ἀποροῦμεν Εὐαγγελίων διὰ τὰς καθ' ἡμέραν Λειτουργίας μέχρι τῆς ἐνάρξεως τοῦ Τριῳδίου, ἐὰν πληρωθῇ ἡ σειρὰ τῶν Εὐαγγελίων τοῦ Λουκᾶ, ἀπαριθμοῦμεν εἰς τὸ ἔτος, ἐν ᾧ εὑρισκόμεθα, πόσαι ἑβδομάδες τοῦ Ματθαίου πρὸ τῆς Κυριακῆς τῆς Ὑψώσεως ἔμειναν, καὶ ἀναγινώσκομεν τὴν σειρὰν ταύτην, ἕως οὗ ἄρξηται τὸ Τριῴδιον· τὸ αὐτὸ ποιοῦμεν καὶ διὰ τοὺς Ἀποστόλους.

Ε'] Μετὰ τὴν τῆς ἑορτῆς τῶν Θεοφανείων Ἀπόδοσιν, τῇ Α' τυχούσῃ Κυριακῇ ἡ ἑορτῇ, ἄρχονται αἱ Καταβασίαι τῆς Ὑπαπαντῆς *Χέρσον ἀβυσσοτόκον*, καὶ Κοντάκιον *Ὁ μήτραν παρθενικήν*.

Τῇ ΙΖ'.—Τοῦ Ὁσίου πατρὸς ἡμῶν Ἀντωνίου τοῦ Μεγάλου.

1. Εἰ τύχοι ἡ μνήμη τοῦ Ὁσίου ἐν ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία αὐτοῦ ψάλλεται ὡς ἐστι διατεταγμένη ἐν τῷ Μηναίῳ.

2. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ ς' καὶ τοῦ Ὁσίου δ', Δόξα τοῦ Ὁσίου, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Ὁσίου, Καὶ νῦν *Ἀνύμφευτε Παρθένε*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Ὁσίου, τὸ Θεοτοκίον, καὶ Ἀπόλυσις.

3. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν, ἡ Λιτὴ τοῦ Ὁσίου καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*· εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ὁσίου καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ

Θεὸς Κύριος τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν, καὶ τὰ τῆς γ' Στιχολογίας τοῦ Ὁσίου μετὰ τοῦ Θεοτοκίου· τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου, καὶ τὸ Προκείμενον. Κανόνες, ὁ Ἀναστάσιμος καὶ ὁ τοῦ Ὁσίου· ἀπὸ γ' Ὠδῆς τὸ Κοντάκιον καὶ τὸ Κάθισμα τοῦ Ὁσίου, καὶ τὸ Θεοτοκίον, ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα, καὶ τὸ Μηνολόγιον· αἱ Καταβασίαι *Χέρσον ἀβυσσοτόκον* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*. Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον, τὸ τοῦ Ὁσίου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ' καὶ τοῦ Ὁσίου δ'. Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

4. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ δ' ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τοῦ Ὁσίου· μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Ὁσίου, τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Ὁ μήτραν παρθενικὴν*, Ἀπόστολος τοῦ Ὁσίου καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*. Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

5. Εἰ τύχοι τῇ Κυριακῇ τοῦ Τελώνου καὶ Φαρισαίου, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ', τοῦ Τριῳδίου γ' καὶ τοῦ Ὁσίου γ', Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τοῦ Ὁσίου. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Ὁσίου, Καὶ νῦν τοῦ Τριῳδίου, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Ὁσίου, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

6. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν, καὶ ἡ Λιτὴ τοῦ Ὁσίου καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, ἡ Ὑπακοὴ, καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος· τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν καὶ τὰ τῆς γ' Στιχολογίας τοῦ Ὁσίου μετὰ τοῦ Θεοτοκίου· τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος, ὁ τοῦ Τριῳδίου καὶ ὁ τοῦ Ὁσίου· ἀπὸ γ' Ὠδῆς Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα, εἶτα Κάθισμα τοῦ Τριῳδίου, τοῦ Ὁσίου καὶ τὸ Θεοτοκίον· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Τριῳδίου,

τὸ Μηνολόγιον τοῦ Ὁσίου καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου, αἱ Καταβασίαι *Χέρσον ἀβυσσοτόκον*, καὶ ἅπασα ἡ ἐν ταῖς Κυριακαῖς τοῦ Τριῳδίου διάταξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*. Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον, τοῦ Τριῳδίου, τοῦ Ὁσίου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα γ', τοῦ Τριῳδίου δ' καὶ γ' τοῦ Ὁσίου. Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. καὶ τὸ *Σήμερον Σωτηρία*. Ἐν τῇ Λειτουργίᾳ ψάλλονται τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ τῆς ς' Ὠδῆς τοῦ Τριῳδίου ἕτερα δ'. Ἀπόστολος τοῦ Ἁγίου καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Σημειωτέον ὅτι ἡ μνήμη τοῦ Ὁσίου Ἀντωνίου δύναται νὰ συμπέσῃ ἐν τῷ Τριῳδίῳ ἀπὸ τῆς Κυριακῆς τοῦ Τελώνου καὶ Φαρισαίου μέχρι τοῦ Σαββάτου τῆς αὐτῆς ἑβδομάδος (Ὅρα τὸν τοῦ Ἑορτοδρομίου Πίνακα).

Τῇ ΙΗ'.—Τῶν ἐν ἁγίοις πατέρων ἡμῶν Ἀθανασίου καὶ Κυρίλλου Πατριαρχῶν Ἀλεξανδρείας.

1. Εἰ τύχοι ἡ μνήμη τῶν Ἁγίων ἐν ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία αὐτῶν ψάλλεται ὡς ἐστι διατεταγμένη ἐν τῷ Μηναίῳ.

2. Εἰ τύχοι ἐν Κυριακῇ ἄνευ Τριῳδίου, ἡ Ἀκολουθία αὐτῶν ψάλλεται κατὰ τὴν ἐν ἡμέρᾳ Κυριακῇ τυπικὴν Διάταξιν τῆς ἑορτῆς τοῦ ἁγίου Ἀντωνίου ὅρα § 2, 3, 4.

3. Εἰ τύχοι ἐν Κυριακῇ μετὰ Τριῳδίου, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ', τοῦ Τριῳδίου δ' καὶ τῶν Ἁγίων δ'. Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τῶν Ἁγίων, Καὶ νῦν τοῦ Τριῳδίου· τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῶν Ἁγίων, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

4. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ ἡ Λιτὴ τῶν Ἁγίων, τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, ἡ Ὑπακοὴ καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*,

τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος· τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν, καὶ τὸ τῆς γ΄ Στιχολογίας τῶν Ἁγίων μετὰ τοῦ Θεοτοκίου· τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον, Κανόνες ὁ Ἀναστάσιμος, ὁ τοῦ Τριῳδίου καὶ οἱ τῶν Ἁγίων· ἀπὸ γ΄ Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, εἶτα τὸ Κάθισμα τοῦ Τριῳδίου, τῶν Ἁγίων καὶ τὸ Θεοτοκίον· ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τοῦ Τριῳδίου, τὸ Μηνολόγιον τῶν Ἁγίων καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου· αἱ Καταβασίαι *Χέρσον ἀβυσσοτόκον* καὶ ἅπασα ἡ ἐν ταῖς Κυριακαῖς τοῦ Τριῳδίου διάταξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*. Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τοῦ Τριῳδίου, τῶν Ἁγίων καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα γ΄, τοῦ Τριῳδίου δ΄ καὶ τῶν Ἁγίων γ΄. Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν *Ὑπερευλογημένη*. Δοξολογία Μ. καὶ τὸ *Σήμερον σωτηρία*. Ἐν τῇ Λειτουργίᾳ ψάλλονται τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Τριῳδίου ἕτερα δ΄. Ἀπόστολος τῶν Ἁγίων καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Σημ. Ἡ μνήμη τῶν Ἁγίων τούτων δυνατὸν νὰ συμπέσῃ ἐν τῷ Τριῳδίῳ ἀπὸ τῆς Κυριακῆς τοῦ Τελώνου καὶ Φαρισαίου, μέχρι τῆς Κυριακῆς τοῦ Ἀσώτου (Ὅρα τὸν τοῦ Ἑορτοδρομίου Πίνακα).

Τῇ Κ΄.— Μνήμη τοῦ Ὁσίου πατρὸς ἡμῶν Εὐθυμίου τοῦ Μεγάλου.

1. Εἰ τύχοι ἡ μνήμη τοῦ Ὁσίου ἐν ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἢ ἐν Κυριακῇ μετὰ ἢ καὶ ἄνευ Τριῳδίου, τὴν διάταξιν τῆς Ἀκολουθίας ὅρα ἐν τῇ μνήμῃ τοῦ ἁγίου Ἀντωνίου § 1, 6.

Σημ. Ἀξιοσημείωτός ἐστιν ὁ Εἱρμὸς τῆς η΄ Ὠδῆς τοῦ εἰς τὸν ἅγιον Εὐθύμιον α΄ Κανόνος, ποιηθέντος ὑπὸ Ἰωάννου τοῦ Δαμασκηνοῦ· διότι τούτου τοῦ Εἱρμοῦ ἡ ἀρχὴ ἐν ταῖς μεταγενεστέραις ἐκδόσεσι πανταχοῦ ἀπαντᾶται οὕτω: *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ*, ἐν δὲ τῷ Κανόνι τούτῳ ἡ Ἀκροστιχὶς τοῦ Κανόνος *Ὅλβος πέφηνας γηγενῶν Εὐθύμιε* ἀπαιτεῖ τὸν τῆς η΄ Ὠδῆς Εἱρμὸν ἄρχεσθαι ἀπὸ τοῦ Υ καὶ ἐν τοῖς κατὰ τὸ ,αφλγ΄ ἔτος ἐν Βενετίᾳ ἐκδοθεῖσι Μηναίοις ὑπὸ Στεφάνου Σαβίου, ὁ Εἱρμὸς τῆς η΄ Ὠδῆς ἄρχεται ἀπὸ τοῦ Υ οὕτως *Υἱοὺς τῆς Σιὼν ἐν τῇ καμίνῳ* συμφώνως πρὸς τὴν Ἀκροστιχίδα, ἐξ οὗ δῆλον ὅτι αὕτη ἦν ἴσως ἡ ἀρχαία καὶ γνησία τοῦ Εἱρμοῦ τούτου ἀρχή. (*Γνώμη τοῦ ἀοιδίμου Πατριάρχου Κωνσταντινουπόλεως Κωνσταντίου τοῦ Α΄*).

Τῇ ΚΕ΄.— Τοῦ ἐν Ἁγίοις πατρὸς ἡμῶν Γρηγορίου τοῦ Θεολόγου.

1. Εἰ τύχοι ἡ μνήμη τοῦ Ἁγίου ἐν ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία αὐτοῦ ψάλλεται κατὰ τὴν τοῦ Μηναίου διάταξιν, ἐξαιρουμένων τῶν δευτέρων ἑσπερίων Στιχηρῶν, δι΄ ἃ ὅρα τὴν ἐν τῷ Ἑσπερινῷ τῆς ἑορτῆς τοῦ ἁγίου Νικολάου ὑποσημείωσιν.

2. Εἰ τύχοι ἐν Κυριακῇ ἄνευ Τριῳδίου, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ ς΄ καὶ τοῦ Ἁγίου δ΄, Δόξα *Ἡ γρήγορος γλῶσσά σου*, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Ἁγίου *Τὰς καρδίας τῶν πιστῶν*, Καὶ νῦν *Ἀνύμφευτε Παρθένε*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Ἁγίου *Ὁ ποιμενικὸς αὐλὸς*, Θεοτοκίον *Τοῦ Γαβριὴλ φθεγξαμένου* καὶ Ἀπόλυσις.

3. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν, ἡ Λιτὴ τοῦ Ἁγίου καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν καὶ τὸ τῆς γ΄ Στιχολογίας Κάθισμα τοῦ Ἁγίου μετὰ τοῦ Θεοτοκίου, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τοῦ Ἁγίου, ἀπὸ γ΄ Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, εἶτα τὸ Κάθισμα τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον, ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τοῦ Ἁγίου καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Χέρσον ἀβυσσοτόκον* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τὸ τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ τοῦ Ἁγίου δ΄,

Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

4. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ δ΄ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ α΄ Κανόνος τοῦ Ἁγίου. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Ἁγίου, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Ὁ μήτραν παρθενικὴν*, Ἀπόστολος τοῦ Ἁγίου καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

5. Εἰ τύχοι ἐν Κυριακῇ μετὰ Τριῳδίου, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ α΄ Κάθισμα τοῦ Ψαλτηρίου, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Ἀναστάσιμα δ΄, τοῦ Τριῳδίου β΄ καὶ τοῦ Ἁγίου δ΄ (τῇ Κυριακῇ τῆς Ἀπόκρεω τοῦ Τριῳδίου γ΄ καὶ τοῦ Ἁγίου γ΄), Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τοῦ Ἁγιου. Εἰς τὰ Ἀπόστιχα τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Ἁγίου Καὶ νῦν τοῦ Τριῳδίου, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Ἁγίου, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

6. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον μετὰ τὸν Ν΄ ψαλμὸν ὁ Τριαδικὸς κανὼν, ἡ Λιτὴ τοῦ Ἁγίου, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τοῦ Τριῳδίου (ἐὰν ᾖ ἡ Κυριακὴ τῆς Ἀπόκρεω)· εἰδὲ μὴ, Καὶ νῦν τὸ Θεοτοκίον, τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος· τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν, καὶ τὸ τῆς γ΄ Στιχολογίας Κάθισμα τοῦ Ἁγίου μετὰ τοῦ Θεοτοκίου· τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες, ὁ Ἀναστάσιμος, ὁ τοῦ Τριῳδίου καὶ ὁ τοῦ Ἁγίου· ἀπὸ γ΄ Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, τὸ Κάθισμα τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον· ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τοῦ Τριῳδίου, τὸ Μηνολόγιον τοῦ Ἁγίου καὶ τὸ Ὑπόμνημα τῆς Κυριακῆς· αἱ Καταβασίαι *Χέρσον ἀβυσσοτόκον* καὶ ἅπασα ἡ ἐν ταῖς Κυριακαῖς τοῦ Τριῳδίου διάταξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, ἀναστάσιμα Στιχηρὰ γ΄, τοῦ Τριῳδίου δ΄ καὶ τοῦ Ἁγίου γ΄ (Τῇ Κυριακῇ τῆς Ἀπόκρεω Ἀναστάσιμα γ΄, τοῦ Τριῳδίου δ΄ καὶ τοῦ Ἁγίου γ΄). Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν *Ὑπερευλογημένη*. Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

7. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ δ΄ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Κανόνος τοῦ Τριῳδίου. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Ἁγίου, τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Ὁ μήτραν παρθενικὴν*· Ἀπόστολος τοῦ Ἁγίου καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Σημ. Ὅτι ἐν πάσαις ταῖς Κυριακαῖς τοῦ ἐνιαυτοῦ (ἐκτὸς τῶν Δεσποτικῶν καὶ Θεομητορικῶν ἑορτῶν, τῶν Κυριακῶν τοῦ Τριῳδίου καὶ τοῦ Πεντηκοσταρίου, ἔτι δὲ καὶ τοῦ τιμίου Προδρόμου, τῶν κατὰ τὴν ΚΘ΄ Ἰουνίου Πρωτοκορυφαίων Ἀποστόλων καὶ τῶν Ἁγίων Πατέρων κατὰ Ἰούλιον καὶ Ὀκτώβριον) τυπικῷ κανόνι καθώρισται τὸ ψάλλειν εἰς τοὺς Αἴνους Δόξα τὸ Ἑωθινὸν, πᾶσι τοῖς ἐκκλησιαστικοῖς τοῦτο δῆλον. Ἐπειδὴ δὲ καὶ ἡ μνήμη τῶν θείων Πατέρων Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου συμπίπτει καὶ Κυριακῇ, ὡς ὄφλημα δίκαιον καὶ πρέπον λελόγισται πρὸς τηλικούτους Ἱεροὺς ἄνδρας, τοὺς πάσῃ σοφίᾳ, ἀρετῇ καὶ χάριτι τῇ ποιμαντικῇ διαπρέψαντας ἐπιστασίᾳ καὶ πόνοις μεγάλοις τὸ τῆς Βυζαντίου Ἐκκλησίας ἰθύναντας πνευματικὸν σκάφος, οὐ μὴν ἀλλὰ καὶ δι' ὧν κατέλιπον πανσόφων, μελιρρύτων καὶ ἀθανάτων συγγραμμάτων, τὴν Οἰκουμενικὴν, μίαν, καὶ ἁγίαν Ἐκκλησίαν φαιδρύναντας, προσῆκόν φαμεν οἰκεῖον, καὶ παντὶ λόγῳ δικαίου ἐποφειλόμενον ἤγηται, ἐπὶ συμπτώσει τῆς σεπτῆς αὐτῶν μνήμης ἐν ἡμέρᾳ Κυριακῇ ἀντὶ τοῦ Ἑωθινοῦ, Δόξα, εἰς τοὺς Αἴνους, ψάλλειν, τὸ τῶν Φωστήρων αὐτῶν Δόξα[6], καὶ τοῦτο μάλιστα ἐν τῇ Μεγάλῃ Ἐκκλησίᾳ, ἧς τὸν θρόνον ἀμφότεροι ἀϊδίῳ τῷ κλέει κατηύγασαν (*Γνώμη τοῦ ἀοιδίμου Πατριάρχου Κωνσταντινουπόλεως Κωνσταντίνου Α΄ τοῦ Βυζαντίου*).

8. Εἰ τύχοι τῷ Σαββάτῳ τῶν Ψυχῶν, ἡ Ἀκολουθία τοῦ Ἁγίου προψάλλεται τῇ Παρασκευῇ, ἡ δὲ τῶν Ψυχῶν ψάλλεται, ὡς εἴθισται, ἐν τῷ Σαββάτῳ, μὴ μετατιθεμένη διὰ τὸ πένθιμον, ὡς διαλαμβάνουσι καὶ τὰ ἀρχαῖα Τυπικά. Αὕτη ἐστὶ καὶ ἡ γνώμη τῶν ἀοιδίμων Πατριαρχῶν Κωνσταντίου τοῦ Α΄ καὶ Γρηγορίου τοῦ ς΄.

---

3. *Ἀλλ' ὅταν ἡ μνήμη αὐτῶν συμπέσῃ Κυριακῇ ἐντὸς τοῦ Τριῳδίου, τότε Δόξα τῶν Ἁγίων ψαλτέον τὸ τοῦ Τριῳδίου.*

Σημειωτέον ὅτι ἡ μνήμη τοῦ ἁγίου Γρηγορίου δυνατὸν νὰ συμπέσῃ ἐν τῷ Τριῳδίῳ ἀπὸ τῆς Κυριακῆς τοῦ Τελώνου καὶ Φαρισαίου, μέχρι τῆς Κυριακῆς τῆς Ἀπόκρεω (Ὅρα τὸν τοῦ Ἑορτοδρομίου Πίνακα).

Τῇ ΚΖ'.—Ἡ ἀνακομιδὴ τοῦ Λειψάνου τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου.

Ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὴν α' Στάσιν τοῦ Ψαλτηρίου, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὰ γ' Στιχηρὰ Προσόμοια εἰς ς'. Δόξα *Οὐκ ἔδει σε Χρυσόστομε*· Καὶ νῦν *Ὁ διὰ σὲ Θεοπάτωρ*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα· εἶτα τὰ Ἀπόστιχα, Δόξα *Ὅσιε τρισμάκαρ*, Καὶ νῦν *Θεοτόκε σὺ εἶ ἡ ἄμπελος . . . μετὰ τοῦ Ἱεράρχου*, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

2. Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ἡ Λιτὴ τοῦ Ἁγίου (ζήτει τῇ ΙΓ' τοῦ Νοεμβρίου), εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ Ἀπολυτίκιον δίς, καὶ τὸ Θεοτοκίον ἅπαξ, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ Καθίσματα κατὰ σειρὰν, οἱ Ἀναβαθμοὶ, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον *Τὸ στόμα μου λαλήσει σοφίαν*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου, εἶτα ὁ Ν' ψαλμὸς χῦμα, Δόξα *Σήμερον σκιρτῶσιν ἐν πνεύματι*, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου*, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Σάλπιγξ χρυσόφωνος ἀνεδείχθης*, Κανόνες, ὁ τῆς Θεοτόκου καὶ ὁ α' τοῦ Ἁγίου *Πλοῦτον ἐναπέθου σῇ ψυχῇ*, ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα τοῦ Ἁγίου καὶ ὁ Οἶκος, τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Χέρσον ἀβυσσοτόκον*, εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, τὸ Ἐξαποστειλάριον καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, τὰ τρία Προσόμοια εἰς δ', Δόξα *Πάτερ Χρυσόστομε*, Καὶ νῦν *Ἐκ παντοίων κινδύνων*, Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου.

3. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ, Τροπάρια ἐκ τῆς γ' καὶ ς' Ὠδῆς τοῦ α' Κανόνος τοῦ Ἁγίου. Μετὰ τὴν Εἴσοδον, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ τὸ Κοντάκιον *Ὁ μήτραν παρθενικὴν* ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Εἰς μνημόσυνον αἰώνιον*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Σημειωτέον ὅτι, κατ' ἔθος ἀρχαῖον, ἐν τῷ Πατριαρχικῷ ναῷ κατὰ τὰς δύο τοῦ Ἱεροῦ Χρυσοστόμου ἑορτὰς ὁ Πατριάρχης κατερχόμενος εἰς τὸν Ναὸν, οὐχ ἵσταται ἐν τῷ Θρόνῳ, ἀλλ' ἐν τῷ Παραθρονίῳ, ἐν δὲ τῷ Θρόνῳ τίθεται ἡ ἱερὰ Εἰκὼν τοῦ Χρυσοστόμου, ὅπως ἀσπάζηται αὐτὴν ὁ λαός· ἵσταται δὲ ἐνώπιον τῆς ἱερᾶς Εἰκόνος τὸ Πατριαρχικὸν Διβάμβουλον, ἤτοι τὸ μέγα κηροπήγιον, καῖον μέχρι τέλους τῆς ἱερᾶς Λειτουργίας.

4. Εἰ τύχοι ἐν Κυριακῇ ἄνευ Τριῳδίου, τὴν διάταξιν τῆς Ἀκολουθίας ὅρα ἐν τῇ μνήμῃ τοῦ ἁγίου Γρηγορίου § 2, 3, 4.

5. Εἰ τύχοι ἐν Κυριακῇ, μετὰ Τριῳδίου, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ α' Κάθισμα τοῦ Ψαλτηρίου, εἰς τὸ *Κύριε ἐκέκραξα*, ἀναστάσιμα Στιχηρὰ δ', τοῦ Τριῳδίου δύο καὶ τοῦ Ἁγίου δ' (τῇ Κυριακῇ τῆς Ἀπόκρεω τοῦ Τριῳδίου γ' καὶ τοῦ Ἁγίου γ'). Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν*, Προκείμενον καὶ τὰ Ἀναγνώσματα τοῦ Ἁγίου. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τοῦ Τριῳδίου, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Ἁγίου, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

6. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον καὶ τὴν Λειτουργίαν, ἡ Ἀκολουθία τοῦ Ἁγίου μετὰ τῆς Ἀναστασίμου καὶ τοῦ Τριῳδίου ψάλλεται ἀπαραλλάκτως κατὰ τὴν τυπικὴν διάταξιν τῆς Ἀκολουθίας τοῦ ἁγίου Γρηγορίου ἐν § 6. 7.

7. Εἰ τύχοι τῷ Σαββάτῳ τῶν Ψυχῶν, ἡ Ἀκολουθία αὐτοῦ ψάλλεται τῇ Παρασκευῇ, ἡ δὲ τῶν Ψυχῶν ψάλλεται, ὡς εἴθισται, τῷ Σαββάτῳ, μὴ μετατιθεμένη, ὡς εἴρηται καὶ ἐν τῇ μνήμῃ τοῦ ἁγίου Γρηγορίου ἐν § 8.

Σημειωτέον ὅτι ἡ μνήμη τοῦ Χρυσοστόμου δυνατὸν νὰ συμπέσῃ ἐν τῷ Τριῳδίῳ ἀπὸ τῆς Κυριακῆς τοῦ Τελώνου καὶ Φαρισαίου μέχρι τῆς Τρίτης τῆς Τυρινῆς (Ὅρα τὸν τοῦ Ἑορτοδρομίου Πίνακα).

Τῇ Λ'. — Τῶν τριῶν Ἱεραρχῶν Βασιλείου τοῦ Μ. Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου.

1. Ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὴν α' Στάσιν

τοῦ Ψαλτηρίου, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ ς' τῶν Ἁγίων Προσόμοια, Δόξα *Τὰς μυστικὰς σήμερον*, Καὶ νῦν *Τίς μὴ μακαρίσει σε*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ γ' Προσόμοια, Δόξα *Σαλπίσωμεν ἐν σάλπιγγι*, Καὶ νῦν *Μακαρίζομέν σε*, τὸ Ἀπολυτίκιον *Τοὺς τρεῖς μεγίστους φωστῆρας*, Θεοτοκίον *Τοῦ Γαβριὴλ φθεγξαμένου σοι* καὶ Ἀπόλυσις.

2. Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ἡ Λιτὴ τῶν Ἁγίων, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῶν Ἁγίων καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ δ' Ἀπολυτίκια καὶ τὸ Θεοτοκίον, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ Καθίσματα κατὰ σειρὰν, οἱ Ἀναβαθμοὶ, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου, τὸ Προκείμενον *Οἱ Ἱερεῖς σου, Κύριε*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον. Εἶτα ὁ Ν' Ψαλμὸς χῦμα, Δόξα *Ταῖς τῶν Διδασκάλων*, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου*, Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Ἐξεχύθη ἡ χάρις ἐν χείλεσιν ὑμῶν*, Κανόνες ὁ τῆς Θεοτόκου *Δεῦτε λαοὶ* καὶ οἱ τῶν Ἁγίων ἀνὰ δ'· ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα τῶν Ἁγίων καὶ τὸ Θεοτοκίον· ἀφ' ς' τὸ Κοντάκιον, ὁ Οἶκος καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων, αἱ Καταβασίαι *Χέρσον ἀβυσσοτόκον*, εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν* εἰς ἦχον β' καὶ μετὰ ταῦτα τὸν Κανόνα τῆς Θεοτόκου σὺν τῷ Εἱρμῷ *Τὸν ἐκ Θεοῦ Θεὸν λόγον*, λέγοντες εἰς τὰ λοιπὰ τρία Στίχον *Ὑπεραγία Θεοτόκε*, εἶτα τοὺς τῶν Ἁγίων δύο Κανόνας μετὰ τῶν Μεγαλυναρίων. Τὰ Ἐξαποστειλάρια κατὰ σειράν. Εἰς τοὺς Αἴνους, τὰ δ' Προσόμοια, Δόξα *Σήμερον αἱ ψυχαὶ τῶν γηγερῶν*, Καὶ νῦν *Σήμερον ὁ Χριστὸς ἐν τῷ Ναῷ*, Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον *Ὡς τῶν Ἀποστόλων ὁμότροποι*.

3. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ, Τροπάρια ἐκ τῆς γ' Ὠδῆς τοῦ α' καὶ ἐκ τῆς ς' τοῦ δ' κανόνος τῶν Ἁγίων. Μετὰ τὴν Εἴσοδον, τὸ Ἀπολυτίκιον *Τοὺς Τρεῖς μεγίστους φωστῆρας*, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ τὸ Κοντάκιον *Ὁ μήτραν παρθενικήν*· ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τῶν Ἁγίων. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Εἰς πᾶσαν τὴν γῆν*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

4. Εἰ τύχοι ἐν Κυριακῇ, τὴν διάταξιν τῆς Ἀκολουθίας ὅρα εἰς τὴν μνήμην τοῦ ἁγίου Γρηγορίου ἐν § 2, 3, 4· ἀλλ' ἐν μὲν τῷ Ἑσπερινῷ, ψάλλονται Ἀναστάσιμα δ' καὶ τῶν Ἁγίων ς'. Καὶ νῦν

τῶν Ἀποστίχων *Ναὸς καὶ πύλη ὑπάρχεις*. Ἐν δὲ τῷ Ὄρθρῳ, εἰς τὰς δύο πρώτας Στιχολογίας ψάλλομεν μετὰ τὸ ἀναστάσιμον Κάθισμα τὸ τῶν Ἁγίων μετὰ τοῦ Θεοτοκίου, καὶ εἰς τὴν γ' τὰ τῶν Ἁγίων μετὰ τοῦ Θεοτοκίου· μετὰ δὲ τὰς Καταβασίας πρῶτον ψάλλομεν *Τὴν τιμιωτέραν*[7] εἰς Ἦχον δ', εἶτα τὸν Εἱρμὸν μετὰ τοῦ Κανόνος τῆς Θεοτόκου, καὶ τοῦ Κανόνος τῶν Ἁγίων μετὰ τῶν Μεγαλυναρίων· Ἀπόστολος τῶν Ἁγίων καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Κοινωνικὸν *Εἰς πᾶσαν τὴν γῆν* καὶ τὰ ἑξῆς.

5. Εἰ τύχοι ἐν Κυριακῇ μετὰ Τριῳδίου, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Ἀναστάσιμα δ', τοῦ Τριῳδίου β' καὶ τῶν Ἁγίων δ' (ἐν δὲ τῇ Κυριακῇ τῆς Ἀπόκρεω, Ἀναστάσιμα δ', τοῦ Τριῳδίου γ' καὶ τῶν Ἁγίων γ'), Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τῶν Ἁγίων. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τῶν Ἁγίων, Καὶ νῦν τὸ τοῦ Τριῳδίου, εἶτα τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῶν Ἁγίων, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

6. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν, ἡ Λιτὴ τῶν Ἁγίων, τὸ Δόξα τῶν Ἁγίων, Καὶ νῦν τοῦ Τριῳδίου (ἐὰν ὑπάρχῃ), εἰ δὲ μὴ, Θεοτοκίον, τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ὡς τῶν Ἀποστόλων* καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος. Τὰ Καθίσματα ὡς ἀνωτέρω ἐν § 4, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος, ὁ τοῦ Τριῳδίου καὶ ὁ εἷς τῶν Ἁγίων, ἀπὸ γ' Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, εἶτα ψάλλεται τὸ Κάθισμα τῶν Ἁγίων καὶ τὸ τοῦ Τριῳδίου, ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Τριῳδίου, τὸ Μηνολόγιον τῶν Ἁγίων καὶ τὸ ὑπόμνημα τῆς Κυριακῆς, αἱ Καταβασίαι *Χέρσον ἀβυσσοτόκον* καὶ ἅπασα ἡ ἐν ταῖς Κυριακαῖς τοῦ Τριῳδίου διάταξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν* εἰς

---

4. *Ἐπειδὴ ἕπεται Κανὼν τῆς Θεοτόκου, ἂν θέλῃ ὁ Προεστὼς δύναται παραλεῖψαι* Τὴν τιμιωτέραν *καὶ μάλιστα διότι πανταχοῦ σχεδὸν ἀγομένης ἐπισήμως πανηγύρεως σήμερον, ἐκφωνεῖται λόγος πανηγυρικός.*

ἦχον β΄ καὶ ἀκολούθως ψάλλομεν τοὺς τρεῖς Κανόνας τῆς Θ΄ Ὠδῆς ὡς ἐσημειώθη ἀνωτέρω ἐν § 2· ἡ Καταβασία *Θεοτόκε ἡ ἐλπὶς*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τοῦ Τριῳδίου καὶ τῶν Ἁγίων. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα γ΄, τοῦ Τριῳδίου β΄ καὶ τῶν Ἁγίων γ΄, Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

7. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ β΄ Κανόνος τῶν Ἁγίων δ΄. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῶν Ἁγίων, τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Ὁ μήτραν παρθενικὴν*, Ἀπόστολος τῶν Ἁγίων καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Εἰς πᾶσαν τὴν γῆν*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

8. Εἰ τύχοι τῷ Σαββάτῳ τῶν Ψυχῶν, ἡ Ἀκολουθία τῶν Ἁγίων μετατίθεται καὶ ψάλλεται τῇ ΚΘ΄ τοῦ μηνὸς, κατὰ τὴν ἐν § 1, 2, 3 διατύπωσιν, ἡ δὲ τῶν Ψυχῶν ψάλλεται τὴν ἡμέραν τοῦ Σαββάτου μὴ μετατιθεμένη διὰ τὸ πένθιμον.

Σημ. Τῷ ,αωπβ΄ συνέπεσεν ἡ μνήμη τῶν Ἁγίων τῷ Σαββάτῳ τῶν Ψυχῶν καὶ ἐψάλη, Συνοδικῇ ἀποφάσει, ἡ Ἀκολουθία τῇ Κυριακῇ τῆς Ἀπόκρεω καὶ ἔκτοτε ἐκανονίσθη οὕτω.

Σημειωτέον ὅτι ἡ μνήμη τῶν Ἁγίων δυνατὸν νὰ συμπέσῃ ἐν τῷ Τριῳδίῳ ἀπὸ τῆς Κυριακῆς τοῦ Τελώνου καὶ Φαρισαίου μέχρι τῆς Παρασκευῆς τῆς Τυρινῆς ἑβδομάδος (Ὅρα τὸν τοῦ Ἑορτοδρομίου Πίνακα).

ΜΗΝ ΦΕΒΡΟΥΑΡΙΟΣ

Τῇ Α΄.— Τοῦ ἁγίου Μάρτυρος Τρύφωνος, καὶ τὰ Προεόρτια τῆς Ὑπαπαντῆς τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

1. Εἰ τύχοι ἡ Α΄ Φεβρουαρίου ἐν οἱᾳδήποτε ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία τοῦ Ἁγίου Τρύφωνος καὶ τὰ Προεόρτια, ψάλλονται κατὰ τὴν ἐν τῷ Μηναίῳ διάταξιν.

2. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ δ΄, Προεόρτια γ΄ καὶ τοῦ Ἁγίου γ΄, Δόξα Προεόρτιον, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν Προεόρτιον *Τὸν ἱερὸν ἡ ἱερὰ Παρθένος*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Ἁγίου, καὶ τὸ Προεόρτιον *Οὐράνιος χορὸς* καὶ Ἀπόλυσις.

3. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, ἡ Ὑπακοὴ τοῦ ἤχου καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ Καθίσματα, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος, καὶ ὁ Προεόρτιος οὗ ὁ Στίχος *Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι*· ἀπὸ γ΄ Ὠδῆς τὸ Κάθισμα τοῦ Ἁγίου καὶ τὸ Προεόρτιον· ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον· Καταβασίαι *Χέρσον ἀβυσσοτόκον* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*. Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον, τοῦ Ἁγίου, καὶ τὸ Προεόρτιον. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ δ΄ Προεόρτια. Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*. Δοξολογία Μεγάλη, *Σήμερον σωτηρία*, καὶ καθεξῆς ἡ Λειτουργία. Ἀπόστολος τοῦ Ἁγίου καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Κοινωνικὸν *Αἰνεῖτε* κτλ.

4. Εἰ τύχοι τῇ Κυριακῇ τοῦ Τελώνου καὶ Φαρισαίου, ἐν τῷ Ἑσπερινῷ, Ἀναστάσιμα δ΄, τοῦ Τριῳδίου γ΄ καὶ Προεόρτια γ΄. Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τοῦ Τριῳδίου, Ἀπολυτίκια, τὸ Ἀναστάσιμον, τοῦ Ἁγίου, καὶ τὸ Προεόρτιον, καὶ Ἀπόλυσις.

5. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὴν συνήθη τοῦ Ὄρθρου τῆς Κυριακῆς διάταξιν τῆς Ἀκολουθίας, ὁ ἀναστάσιμος Κανὼν, ὁ τοῦ Τριῳδίου καὶ ὁ Προεόρτιος· ἀπὸ γ΄ Ὠδῆς Κάθισμα τοῦ Τριῳδίου, τοῦ Ἁγίου, καὶ τὸ Προεόρτιον· ἀφ' ς΄ τὸ ἀναστάσιμον Κοντάκιον, ὁ Οἶκος, καὶ τὸ Μηνολόγιον· αἱ Καταβασίαι *Χέρσον ἀβυσσοτόκον* καὶ ἅπασα ἡ ἐν ταῖς Κυριακαῖς τοῦ Τριῳδίου διάταξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, *Τὴν τιμιωτέραν*, τὸ ἀναστάσιμον Ἐξαποστειλάριον, τοῦ Τριῳδίου, τοῦ Ἁγίου, καὶ τὸ Προεόρτιον. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα γ΄, τοῦ Τριῳδίου δ΄ καὶ Προεόρτια γ΄. Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη, *Σήμερον σωτηρία* καὶ καθεξῆς ἡ Λειτουργία, ἐν ᾗ ψάλλονται οἱ Μακαρισμοί· Ἀπολυτίκια μετὰ τὴν Εἴσοδον, τὸ Ἀναστάσιμον, τὸ Προεόρτιον, τοῦ Ἁγίου, τοῦ Ἁγίου τοῦ Ναοῦ, Κοντάκιον *Ὁ μήτραν παρθενικὴν*, Ἀπόστολος τοῦ Ἁγίου καὶ Εὐαγγέλιον τοῦ Τριῳδίου· Κοινωνικὸν *Αἰνεῖτε* καὶ Ἀπόλυσις.

Τῇ Β΄.— Ἡ Ὑπαπαντὴ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

1. Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὰ γ΄ Ἰδιόμελα *Λέγε Συμεὼν* εἰς ἓξ, Δόξα Καὶ νῦν *Ἀνοιγέσθω ἡ πύλη*. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον, καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ Ἰδιόμελα *Κατακόσμησον τὸν Νυμφῶνά σου Σιὼν*, Δόξα Καὶ νῦν *Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος, Νῦν Ἀπολύεις*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Χαῖρε Κεχαριτωμένη* ἐκ τρίτου, καὶ Ἀπόλυσις *Ὁ ἐν ἀγκάλαις τοῦ δικαίου Συμεὼν βασταχθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν* κτλ.

2. Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ψάλλεται ἡ Λιτὴ, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον καὶ ὁ Ἑξάψαλμος· εἰς τὸ *Θεὸς Κύριος* τὸ Ἀπολυτίκιον ἐκ γ΄, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος *Ἐξηρεύξατο ἡ καρδία μου*· τὰ Καθίσματα ἐκ δευτέρου, οἱ Ἀναβαθμοὶ, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου, τὸ Προκείμενον *Μνησθήσομαι τοῦ ὀνόματός σου*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον, ὁ Ν΄ ψαλμὸς χῦμα, Δόξα *Ταῖς τῆς Θεοτόκου*, Καὶ νῦν τὸ αὐτὸ, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Ἀνοιγέσθω ἡ πύλη*, ὁ Κανὼν εἰς ς΄ ἄνευ Στίχων, μόνον Δόξα Καὶ νῦν ἐν ἑκάστῃ Ὠδῇ· ἀπὸ γ΄ Ὠδῆς τὸ Κάθισμα ἅπαξ, ἀφ' ς΄ τὸ Κοντάκιον, ὁ Οἶκος καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Χέρσον ἀβυσσοτόκον* καὶ ψάλλονται τὰ Μεγαλυνάρια·

Ἀκατάληπτόν ἐστι, τὸ τελούμενον ἐν σοὶ, καὶ Ἀγγέλοις καὶ βροτοῖς, Μητροπάρθενε ἁγνή.

Ἀγκαλίζεται χερσὶν, ὁ Πρεσβύτης Συμεὼν, τὸν τοῦ νόμου Ποιητὴν, καὶ Δεσπότην τοῦ παντός.

Βουληθεὶς ὁ Πλαστουργὸς, ἵνα σώσῃ τὸν Ἀδὰμ, μήτραν ᾤκησε τὴν σὴν, τῆς Παρθένου καὶ ἁγνῆς.

Γένος ἅπαν τῶν βροτῶν, μακαρίζει σε Ἁγνὴ, καὶ δοξάζει σε πιστῶς, ὡς Μητέρα τοῦ Θεοῦ.

Δεῦτε ἴδετε Χριστὸν, τὸν Δεσπότην τοῦ παντὸς, ὃν βαστάζει Συμεὼν, σήμερον ἐν τῷ ναῷ.

Ἐπιβλέπεις πρὸς τὴν γῆν, καὶ ποιεῖς τρέμειν αὐτὴν, καὶ πῶς γέρων κεκμηκὼς, σὲ κατέχει ἐν χερσί;

Ζήσας ἔτη Συμεὼν, ἕως εἶδε τὸν Χριστὸν, καὶ ἐβόα πρὸς αὐτόν· Νῦν ἀπόλυσιν ζητῶ.

Ἡ λαβὶς ἡ μυστικὴ, ἡ τὸν ἄνθρακα Χριστὸν, συλλαβοῦσα ἐν γαστρὶ, σὺ ὑπάρχεις Μαριάμ.

Θέλων ἐνηνθρώπησας, ὁ προάναρχος Θεὸς, καὶ ναῷ προσφέρεσαι, τεσσαρακονθήμερος.

Κατελθόντ' ἐξ οὐρανοῦ, τὸν Δεσπότην τοῦ παντὸς, ὑπεδέξατο αὐτὸν, Συμεὼν ὁ Ἱερεύς.

Καὶ τὰ τῆς Θ' Ὠδῆς δ' Τροπάρια εἰς ς' μετὰ τῶν ὑπολειπομένων Μεγαλυναρίων·

Λάμπρυνόν μου τὴν ψυχὴν, καὶ τὸ φῶς τὸ αἰσθητὸν, ὅπως ἴδω καθαρῶς, καὶ κηρύξω σε Θεόν.

Μητροπάρθενε ἁγνὴ, τί προσφέρεις τῷ ναῷ, νέον βρέφος ἀποδοὺς, ἐν ἀγκάλαις Συμεών;

Νῦν ἀπόλυσιν ζητῶ, ἀπὸ σοῦ τοῦ Πλαστουργοῦ, ὅτι εἶδόν σε Χριστὲ, τὸ σωτήριόν μου φῶς.

Ὃν οἱ ἄνω λειτουργοὶ, τρόμῳ λιτανεύουσι, κάτω νῦν ὁ Συμεὼν, ἀγκαλίζεται χερσί.

Δόξα. **Ἡ τῇ φύσει μὲν μονὰς, τοῖς προσώποις δὲ Τριὰς, φύλαττε τοὺς δούλους σου, τοὺς πιστεύοντας εἰς σέ.**

Καὶ νῦν. **Θεοτόκε ἡ ἐλπὶς, πάντων τῶν Χριστιανῶν, σκέπε φρούρει φύλαττε, τοὺς ἐλπίζοντας εἰς σέ.**

Τὴν Καταβασίαν *Θεοτόκε ἡ ἐλπὶς . . . Ἐν Νόμῳ, σκιᾷ*, τὸ Ἐξαποστειλάριον *Ἐν πνεύματι τῷ Ἱερῷ ἑκ γ'*. Εἰς τοὺς Αἴνους, τὰ Προσόμοια *Νόμον τὸν ἐν γράμματι*. Δόξα Καὶ νῦν *Ὁ ἐν χερσὶ πρεσβυτικαῖς*, Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον.

3. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα·

Ἀντίφωνον α'.

Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀγαθόν.

Ἡ γλῶσσά μου κάλαμος γραμματέως ὀξυγράφου.

Ἐξεχύθη χάρις ἐν χείλεσί σου.

Διὰ τοῦτο εὐλόγησέ σε ὁ Θεὸς εἰς τὸν αἰῶνα.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου κτλ.

Ἀντίφωνον β'.

Περίζωσαι τὴν ῥομφαίαν σου ἐπὶ τὸν μηρόν σου δυνατέ.

Καὶ ἔντεινε, καὶ κατευοδοῦ καὶ βασίλευε.

Τὰ βέλη σου ἠκονημένα δυνατέ· λαοὶ ὑποκάτω σου πεσοῦνται.

Ῥάβδος εὐθύτητος ἡ ῥάβδος τῆς βασιλείας σου.

Σῶσον ἡμᾶς . . . ὁ ἐν ἀγκάλαις τοῦ Δικαίου Συμεὼν βασταχθεὶς κτλ.

Ἀντίφωνον γ'.

Ἄκουσον Θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου.

Τὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ.

Μνησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

Χαῖρε κεχαριτωμένη κτλ.

Τὸ Εἰσοδικὸν *Ἐγνώρισε Κύριος* τὸ Σωτήριον αὐτοῦ ἐναντίον πάντων τῶν ἐθνῶν. *Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν ἀγκάλαις τοῦ Δικαίου Συμεὼν βασταχθείς.* Τὸ Ἀπολυτίκιον *Χαῖρε κεχαριτωμένη*, τὸ Κοντάκιον *Ὁ Μήτραν παρθενικὴν*, τὸ Τρισάγιον, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον. Εἰς τὸ Ἐξαιρέτως *Θεοτόκε ἡ ἐλπὶς ... Ἐν νόμῳ, σκιᾷ* κτλ. Κοινωνικὸν *Ποτήριον, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

4. Εἰ τύχοι ἡ ἑορτὴ ἐν Κυριακῇ ἔξω τοῦ Τριῳδίου, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα*, Ἀναστάσιμα δ' καὶ τῆς ἑορτῆς ἓξ, Δόξα Καὶ νῦν *Ἀνοιγέσθω ἡ πύλη*, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν *Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον τῆς ἑορτῆς ὃις καὶ Ἀπόλυσις (Ἴδε ταύτην ὄπισθεν ἐν § 6).

5. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν, ἡ Λιτὴ καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*

τὸ ἀναστάσιμον Ἀπολυτίκιον καὶ τὸ τῆς ἑορτῆς δίς, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ ἀναστάσιμα Καθίσματα καὶ ἀνὰ ἓν τῆς ἑορτῆς ἀντὶ τῶν Θεοτοκίων, τὸ δὲ τῆς γ΄ Στιχολογίας ψάλλεται δίς, εἶτα ἡ Αἴτησις, οἱ Ἀναβαθμοί, ἡ Ὑπακοὴ τοῦ ἤχου καὶ τὸ Προκείμενον τῆς ἑορτῆς *Μνησθήσομαι τοῦ ὀνόματός σου*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον τῆς ἑορτῆς, τὸ *Ἀνάστασιν Χριστοῦ*, ὁ Ν΄ χῶμα, Δόξα *Ταῖς τῆς Θεοτόκου*, Καὶ νῦν τὸ αὐτό, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Ἀνοιγέσθω ἡ πύλη*, Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τῆς ἑορτῆς μετὰ Στίχου *Ὑπεραγία Θεοτόκε*· ἀπὸ γ΄ Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, καὶ ψάλλεται τὸ Κάθισμα τῆς ἑορτῆς ἅπαξ· ἀφ΄ ς΄ τὸ Κοντάκιον, ὁ Οἶκος καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Χέρσον ἀβυσσοτόκον* καὶ ψάλλονται τὰ Μεγαλυνάρια καὶ τὰ Τροπάρια τῆς Θ΄ Ὠδῆς· ὡς ἐν § 2, ἡ Καταβασία *Θεοτόκε ἡ ἐλπὶς*, τὸ ἀναστάσιμον Ἐξαποστειλάριον καὶ τὸ τῆς ἑορτῆς δίς. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ τῆς ἑορτῆς δ΄, Δόξα *Ὁ ἐν χερσὶ πρεσβυτικαῖς*, Καὶ νῦν *Ὑπερευλογημένη* Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

6. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα ὡς ἐν § 3. Εἰς τὸ δ΄ Ἀντίφωνον *Ὁ ἐν ἁγκάλαις τοῦ Δικαίου Συμεὼν βασταχθείς*, τὸ Εἰσοδικὸν *Ἐγερώρισε Κύριος· Σῶσον ἡμᾶς . . . ὁ ἀναστὰς ἐκ νεκρῶν*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῆς ἑορτῆς, καὶ Κοντάκιον *Ὁ μήτραν παρθενικὴν*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς ἑορτῆς. Εἰς τὸ Ἐξαιρέτως, *Θεοτόκε ἡ ἐλπὶς*, Κοινωνικὸν *Ποτήριον, Εἴδομεν τὸ φῶς* καὶ ἡ Ἀπόλυσις *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι, ὁ ἐν ἁγκάλαις τοῦ Δικαίου Συμεὼν βασταχθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν σωτηρίαν καὶ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν* κτλ.

Κυριακὴ μετὰ τὴν Ἑορτήν.

7. Τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* Ἀναστάσιμα ς΄ καὶ μεθέορτα δ΄, Δόξα *Ἐρευνᾶτε τὰς Γραφὰς* (ζήτει εἰς τὴν Λιτὴν), Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα στιχηρὰ, Δόξα Καὶ νῦν *Ὁ παλαιὸς ἡμερῶν*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς καὶ Ἀπόλυσις.

8. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδ. *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ ἀναστάσιμον Ἀπολυτίκιον δίς, καὶ τὸ τῆς ἑορτῆς ἅπαξ, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἅμωμος, τὰ ἀναστάσιμα Καθίσματα καὶ ἀνὰ ἓν τῆς ἑορτῆς ἀντὶ τῶν Θεοτοκίων, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τῆς ἑορτῆς· ἀπὸ γ΄ Ὠδῆς Κάθισμα τῆς ἑορτῆς, ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τὰ ἀναστάσιμα καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Χέρσον ἀβυσσοτόκον* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*· Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ μεθέορτα δ΄· Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

9. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ δ΄ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Κανόνος τῆς ἑορτῆς. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Ὁ μήτραν παρθενικὴν*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Ἡ Ἀπόδοσις τῆς Ἑορτῆς.

10. Τῇ Θ΄ τοῦ μηνὸς ἀποδίδοται ἡ ἑορτὴ καὶ ψάλλονται ἅπαντα τὰ τῆς ἑορτῆς, ἐξαιροῦνται ὅμως ἐν τῷ Ἑσπερινῷ τὰ Ἀναγνώσματα καὶ ἐν τῷ Ὄρθρῳ ἡ Λιτὴ, ὁ Πολυέλεος καὶ τὸ Εὐαγγέλιον· ἐν δὲ τῇ Λειτουργίᾳ Ἀπόστολος καὶ Εὐαγγέλιον λέγονται τὰ τῆς ἡμέρας[1].

11. Εἰ τύχοι ἡ ἑορτὴ ἐν Κυριακῇ μετὰ Τριῳδίου, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα*, Ἀναστάσιμα δ΄, τοῦ Τριῳδίου δ΄ καὶ τῆς ἑορτῆς δ΄ (ἐν τῇ Κυριακῇ τῆς Ἀπόκρεω καὶ τῆς Τυρινῆς Ἀναστάσιμα δ΄ τοῦ

---

1. Σημειοῦμεν χάριν τῶν φιλοπερίεργων ὅτι οὐδέποτε ἡ Ἀπόδοσις τῆς ἑορτῆς ταύτης συμπίπτει ἐν Κυριακῇ ἄνευ Τριῳδίου· διὸ καὶ οὐδὲ μνείαν τοιαύτης περιπτώσεως ποιούμεθα.

Τριῳδίου γ' καὶ τῆς ἑορτῆς γ), Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τῆς ἑορτῆς, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τῆς ἑορτῆς, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς δὶς, καὶ Ἀπόλυτις.

12. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ ἡ Λιτὴ τῆς ἑορτῆς, Δόξα τοῦ Τριῳδίου (ὅταν ὑπάρχῃ) Καὶ νῦν τῆς ἑορτῆς, καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, Καθίσματα Ἀναστάσιμα δύο καὶ τῆς ἑορτῆς *Χορὸς Ἀγγελικὸς*, αὖθις δύο Ἀναστάσιμα καὶ τῆς ἑορτῆς *Ὃ ὢν σὺν τῷ Πατρὶ*, τὸ δὲ γ' Κάθισμα τῆς ἑορτῆς *Νηπιάζει δι' ἐμὲ*, ψάλλεται ἐκ β', εἶτα Αἴτησις, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον τῆς ἑορτῆς *Μνησθήσομαι τοῦ ὀνόματός σου*, τὸ *Πᾶσα πνοὴ* καὶ Εὐαγγέλιον τῆς ἑορτῆς τὸ τῆς Λειτουργίας· τὸ *Ἀνάστασιν Χριστοῦ* καὶ ὁ Ν' χῦμα, Δόξα *Ταῖς τῆς Θεοτόκου*, Καὶ νῦν τὸ αὐτὸ, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Ἀνοιγέσθω ἡ Πύλη*, Κανόνες ὁ Ἀναστάσιμος, ὁ τοῦ Τριῳδίου καὶ ὁ τῆς ἑορτῆς μετὰ Στίχου *Ὑπεραγία Θεοτόκε*, ἀπὸ γ' Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, καὶ ψάλλεται τὸ Κάθισμα τοῦ Τριῳδίου καὶ τὸ τῆς ἑορτῆς· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ τοῦ Τριῳδίου, τὸ Μηνολόγιον τῆς ἑορτῆς καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου, αἱ Καταβασίαι *Χέρσον ἀβυσσοτόκον* καὶ ψάλλονται τὰ Μεγαλυνάρια *Ἀκατάληπτόν ἐστι* μετὰ τῶν Τροπαρίων τῆς Θ' Ὠδῆς καὶ ἡ Καταβασία *Θεοτόκε ἡ ἐλπὶς . . . Ἐν νόμῳ σκιᾷ*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τοῦ Τριῳδίου καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ' καὶ τῆς ἑορτῆς δ' (τῇ Κυριακῇ τῆς Ἀποκρεω καὶ τῆς Τυρινῆς Ἀναστάσιμα γ', τοῦ Τριῳδίου δ' καὶ τῆς ἑορτῆς γ'), Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν *Ὁ ἐν χερσὶ πρεσβυτικαῖς*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

13. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα ὡς ἐν § 3. Εἰς τὸ β' Ἀντίφωνον *Ὁ ἐν ἀγκάλαις τοῦ Δικαίου Συμεὼν βασταχθεὶς*, τὸ Εἰσοδικὸν *Ἐγκώμιον Κύριος· Σῶσον ἡμᾶς ... ὁ ἀναστὰς ἐκ νεκρῶν*, τὸ ἀνκστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς καὶ Κοντάκιον *Ὁ μήτραν παρθενικὴν*, Ἀπόστολος τῆς ἑορτῆς καὶ Εὐαγγέλιον

τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Θεοτόκε ἡ ἐλπὶς . . . Ἐν νόμῳ σκιᾷ*, Κοινωνικὸν *Ποτήριον*, *Εἴδομεν* τὸ *φῶς* καὶ Ἀπόλυσις.

Κυριακὴ μετὰ τὴν ἑορτὴν ἐντὸς Τριῳδίου.

14. Τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα*, Ἀναστάσιμα δ', τοῦ Τριῳδίου γ' καὶ μεθέορτα γ', Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν μεθέορτον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς ἅπαξ καὶ Ἀπόλυσις.

15. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, ὁ Ν' ψαλμὸς, ὁ Τριαδικὸς κανὼν, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς, ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ ἀναστάσιμον Ἀπολυτίκιον δὶς, καὶ τὸ τῆς ἑορτῆς ἅπαξ, τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα καὶ ἀνὰ ἓν τῆς ἑορτῆς ἀντὶ Θεοτοκίων, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον· Κανόνες, ὁ Ἀναστάσιμος, ὁ τοῦ Τριῳδίου καὶ ὁ τῆς ἑορτῆς· ἀπὸ γ' Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, τὸ Κάθισμα τοῦ Τριῳδίου καὶ τὸ τῆς ἑορτῆς· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Τριῳδίου, τὸ Μηνολόγιον καὶ τὸ Ὑπόμνημα· αἱ Καταβασίαι *Χέρσον ἀβυσσοτόκον* καὶ ἅπασα ἡ ἐν ταῖς Κυριακαῖς τοῦ Τριῳδίου διάταξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα *Τὴν τιμιωτέραν*, τὸ ἀναστάσιμον Ἐξαποστειλάριον, τοῦ Τριῳδίου, καὶ τὸ μεθέορτον *Ἀτρέπτως καθ' ὑπόστασιν*. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ', τοῦ Τριῳδίου γ'. Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. τὸ *Σήμερον σωτηρία*, καὶ καθεξῆς ἡ Λειτουργία, ἐν ᾗ ψάλλονται τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ δ' ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τοῦ Τριῳδίου. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ τὸ Κοντάκιον *Ὁ μήτραν παρθενικὴν*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Ἀπόδοσις τῆς Ἑορτῆς ἐν Κυριακῇ μετὰ Τριῳδίου.

16. Τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Ἀναστάσιμα δ', τοῦ

Τριῳδίου γ' καὶ τῆς ἑορτῆς γ', Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τῆς ἑορτῆς. Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τῆς ἑορτῆς, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς δὶς καὶ Ἀπόλυσις.

17. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριῳδικὸς κανὼν, τὸ τῆς Λιτῆς τοῦ Τριῳδίου Δόξα Ἰδιόμελον (ἐὰν ὑπάρχῃ), εἶτα τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα καὶ ἀνὰ ἓν τῆς ἑορτῆς ἀντὶ τῶν Θεοτοκίων, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον· Κανόνες ὁ Ἀναστάσιμος, ὁ τοῦ Τριῳδίου καὶ ὁ τῆς ἑορτῆς· ἀπὸ γ' Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, τὸ Κάθισμα τοῦ Τριῳδίου καὶ τὸ τῆς ἑορτῆς· ἀφ' ς' τὸ Κοντάκιον καὶ ὁ Οἶκος τοῦ Τριῳδίου, τὸ Μηνολόγιον καὶ τὸ Ὑπόμνημα τῆς Κυριακῆς· αἱ Καταβασίαι *Χέρσον ἀβυσσοτόκον*, καὶ ἅπασα ἡ ἐν ταῖς Κυριακαῖς τοῦ Τριῳδίου διάταξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα τὰ Μεγαλυνάρια *Ἀκατάληπτόν ἐστι* ὡς ἐν § 2· Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον, τὸ τοῦ Τριῳδίου καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα γ', τοῦ Τριῳδίου δ' καὶ τῆς ἑορτῆς γ'. Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τῆς ἑορτῆς, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

18. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς. Εἰς τὸ δ' Ἀντίφωνον *Ὁ ἐν ἀγκάλαις τοῦ Δικαίου Συμεὼν*, τὸ Εἰσοδικὸν *Ἐγνώρισε Κύριος. Σῶσον ἡμᾶς . . . ὁ ἀναστὰς ἐκ νεκρῶν*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς, καὶ τὸ Κοντάκιον *Ὁ μήτραν παρθενικὴν*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Θεοτόκε ἡ ἐλπὶς*, Κοινωνικὸν *Ποτήριον σωτηρίου*, καὶ Ἀπόλυσις.

19. Εἰ τύχοι ἡ ἑορτὴ τῷ Σαββάτῳ τῶν Ψυχῶν, ἡ Ἀκολουθία τῶν Ψυχῶν μετατίθεται καὶ προψάλλεται τῷ πρὸ τῆς Κυριακῆς τοῦ Ἀσώτου Σαββάτῳ· ἡ δὲ Ἀκολουθία τῆς ἑορτῆς ψάλλεται ἀμεταθέτως καὶ ἀπαραλλάκτως ὡς διετυπώθη ἐν § 1, 2, 3. Αὕτη ἦν καὶ ἡ διάταξις τῶν παλαιῶν Τυπικῶν, ὡς καὶ ἡ γνώμη τῶν ἁοιδίμων Πατριαρχῶν Κωνσταντίου τοῦ Βυζαντίου καὶ Γρηγορίου τοῦ ς'.

Διάφοροι περιπτώσεις τῆς Ἀποδόσεως τῆς ἑορτῆς, ὅταν συμπέσῃ ἐν μιᾷ τῶν ἡμερῶν ἀπὸ τῆς Κυριακῆς τοῦ Τελώνου καὶ Φαρισαίου μέχρι τῆς Κυριακῆς τῆς Τυρινῆς.

α'] Ἀπὸ τῆς Κυριακῆς τοῦ Τελώνου καὶ Φαρισαίου μέχρι τῆς Παρασκευῆς τῆς αὐτῆς ἑβδομάδος, ἐν οἵᾳ ἡμέρᾳ ἤθελε τύχει ἡ ἑορτὴ, ἡ Ἀπόδοσις γίνεται τῇ ὀγδόῃ ἡμέρᾳ, ἤτοι τῇ Θ' τοῦ μηνός.

β'] Ἀπὸ τοῦ Σαββάτου τῆς τοῦ Ἀσώτου παραμονῆς μέχρι τῆς Τρίτης τῆς ἑβδομάδος τῆς Ἀπόκρεω, ἐν οἵᾳ ἡμέρᾳ ἤθελε τύχει ἡ ἑορτὴ, ἡ Ἀπόδοσις γίνεται τῇ πρὸ τοῦ Σαββάτου τῶν Ψυχῶν Παρασκευῇ, διότι ἡ Ἀκολουθία τῶν Ψυχῶν οὐ μετατίθεται διὰ τὴν Ἀπόδοσιν τῆς ἑορτῆς, ἀλλὰ ψάλλεται ἀμεταθέτως ἐν τῷ αὐτῷ τῶν Ψυχῶν Σαββάτῳ κατὰ τὴν ἐν τῷ Τριῳδίῳ διάταξιν.

γ'] Ἀπὸ τῆς Τετάρτης τῆς ἑβδομάδος τῆς Ἀπόκρεω μέχρι τοῦ Σαββάτου τῶν Ψυχῶν, ἐν οἵᾳ ἡμέρᾳ ἤθελε τύχει ἡ ἑορτὴ, ἡ Ἀπόδοσις γίνεται τῇ Τρίτῃ τῆς Τυρινῆς.

δ'] Ἀπὸ τῆς Κυριακῆς τῆς Ἀπόκρεω, μέχρι τῆς Τρίτης τῆς Τυρινῆς, ἐν οἵᾳ ἡμέρᾳ ἤθελε τύχει ἡ ἑορτὴ, ἡ Ἀπόδοσις γίνεται τῇ Παρασκευῇ τῆς αὐτῆς ἑβδομάδος.

ε'] Ἀπὸ τῆς Τετάρτης τῆς Τυρινῆς, μέχρι τοῦ Σαββάτου, ἐν οἵᾳ ἡμέρᾳ ἤθελε τύχει ἡ ἑορτὴ, ἡ Ἀπόδοσις γίνεται τῇ Κυριακῇ τῆς Τυρινῆς καὶ ψάλλεται ἡ Ἀκολουθία ὡς διετυπώθη ἐν § 16, 17, 18. Συμπιπτούσης δὲ τῆς ἑορτῆς τῇ Κυριακῇ τῆς Τυρινῆς, ὅτε καὶ ψάλλεται ἡ Ἀκολουθία κατὰ τὴν ἐν § 11, 12, 13 διάταξιν, ἡ Ἀπόδοσις ψάλλεται τῇ αὐτῇ Κυριακῇ ἑσπέρας ὡς ἐφεξῆς.

20. Τὸ ἑσπέρας τῆς Κυριακῆς τῆς Τυρινῆς, μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ γ' τῶν Αἴνων τῆς ἑορτῆς Στιχηρὰ καὶ γ' τοῦ Θεοδόχου Συμεὼν *Δίκαιος καὶ τέλειος*, Δόξα Καὶ νῦν *Ἀνοιγέσθω ἡ Πύλη*, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Μέγα Προκείμενον *Μὴ ἀποστρέψῃς* ἐκ τρίτου. Εἰς τὰ Ἀπόστιχα, τὸ Ἰδιόμελον *Ἔλαμψεν ἡ χάρις σου* δὶς, καὶ τὸ Μαρτυρικόν· Δόξα Καὶ νῦν *Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος*, *Νῦν ἀπολύεις*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τρίτου καὶ ἡ Ἀπόλυσις οὕτω: *Δόξα σοι, ὁ Θεὸς, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι, ὁ ἐν ἀγκάλαις τοῦ Δικαίου Συμεὼν βασταχθῆναι καταδεξάμενος διὰ τὴν ἡμῶν*

σωτηρίαν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς Παναχράντου αὐτοῦ Μητρὸς, τῶν ἁγίων ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων καὶ πάντων τῶν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος, ἄνευ τοῦ Δι' εὐχῶν, ἀλλ' εὐθὺς οἱ Χοροὶ ψάλλουτι τὸ *Θεοτόκε Παρθένε* κτλ. τὸ *Κύριε ἐλέησον μ'. Ὁ ὢν εὐλογητὸς*, τὸ *Ἐπουράνιε Βασιλεῦ*, καὶ μετὰ τὰς Μετανοίας, ὁ Ἱερεὺς ἄνευ ἑτέρας Ἀπολύσεως τὸ *Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου*, εἶτα ψάλλουσιν οἱ Χοροὶ τὸ *Πάντων προστατεύεις*, ἵν' οὕτω τὴν ἐξ ἔθους ἱεροῦ ἀρχαίου ἐν τῷ τέλει τοῦ προεισοδίου τούτου Ἑσπερινοῦ τῆς τεσσαρακονθημέρου νηστείας οἱ εὐσεβεῖς Χριστιανοὶ λάβωσι τὴν συγχώρησιν· καὶ ἀποδίδοται ἡ ἑορτὴ ἐν τῇ περιστάσει ταύτῃ.

21. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Δευτέρᾳ τῆς Α' ἑβδομάδος τῶν Νηστειῶν, τῇ Κυριακῇ τῆς Τυρινῆς ἑσπέρας, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ γ' Ἰδιόμελα τοῦ Τριῳδίου *Ἐγκρατείᾳ τὴν σάρκα* καὶ τὰ γ' τῆς ἑορτῆς *Λέγε Συμεών*, Δόξα Καὶ νῦν *Ἀνοιγέσθω ἡ Πύλη*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον *Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον*, καὶ τὰ Ἀναγνώσματα τῆς ἑορτῆς. Εἰς τὰ Ἀπόστιχα, τὸ Ἰδιόμελον *Ἔλαμψεν ἡ χάρις σου* καὶ τὰ δύο τῆς ἑορτῆς Ἀπόστιχα Ἰδιόμελα *Κατακόσμησον τὸν Νυμφῶνά σου* καὶ *Τὸν ἐκλάμψαντα πρὸ αἰώνων*, Δόξα Καὶ νῦν *Ὁ τοῖς Χερουβὶμ ἐποχούμενος*, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς ἐκ τρίτου καὶ Ἀπόλυσις.

22. Τῇ Δευτέρᾳ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν ἡ Λιτὴ τῆς ἑορτῆς, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ Ἀπολυτίκιον ἐκ τρίτου, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος. Καθίσματα εἰς τὴν α' Στιχολογίαν τοῦ Τριῳδίου *Τῆς νηστείας τῇ Θείᾳ ἀπαρχῇ*, καὶ τῆς ἑορτῆς *Χορὸς ἀγγελικός*· εἰς τὴν β' Στιχολογίαν *Τὴν πάνσεπτον ἐγκράτειαν*, καὶ τῆς ἑορτῆς *Ὁ ὢν σὺν τῷ Πατρὶ*, εἰς δὲ τὴν γ' Στιχολογίαν, τὸ τῆς ἑορτῆς ἐκ δευτέρου· οἱ Ἀναβαθμοὶ, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου, τὸ Προκείμενον *Μνησθήσομαι τοῦ ὀνόματός σου*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου· ὁ Ν' χῦμα, Δόξα *Ταῖς τῆς Θεοτόκου*, Καὶ νῦν τὸ αὐτὸ, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Ἀνοιγέσθω ἡ πύλη*, ὁ Κανὼν εἰς ἕξ· ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα τῆς ἑορτῆς ἅπαξ, ἀφ' ς' τὸ Κοντάκιον, ὁ Οἶκος καὶ τὸ Μηνολόγιον· αἱ Καταβασίαι *Χέρσον ἀβυσσοτόκον*, εἶτα τὰ Μεγαλυ-

νάρια *Ἀκατάληπτόν* ἐστι μετὰ τῶν τῆς Θ' Ὠδῆς Τροπαρίων ὡς διετυπώθησαν ἐν § 2· τὸ Ἐξαποστειλάριον *Ἐν πνεύματι τῷ Ἱερῷ* ἐκ τρίτου. Εἰς τοὺς Αἴνους, τὰ Προστόμια *Νόμον τὸν ἐν γράμματι* εἰς δ'. Δόξα Καὶ νῦν *Ὁ ἐν χερσὶ πρεσβυτικαῖς*· Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον.

23. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς, τὸ Εἰσοδικὸν, τὸ Ἀπολυτίκιον, τὸ Κοντάκιον, ὁ Ἀπόστολος, τὸ Εὐαγγέλιον, καὶ καθεξῆς ἡ Λειτουργία τοῦ Χρυσοστόμου. Εἰς τὸ Ἐξαιρέτως *Θεοτόκε ἡ ἐλπὶς*, Κοινωνικὸν *Ποτήριον*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις. Κατάλυσις οἴνου καὶ ἐλαίου.

Ἡ Ἀπόδοσις.

24. Τῇ αὐτῇ Δευτέρᾳ ἑσπέρας ἀποδίδοται ἡ ἑορτὴ καὶ ψάλλεται ὁ Ἑσπερινὸς ἀπαραλλάκτως ὡς προδιετυπώθη ἐν § 1, πλὴν τῶν Ἀναγνωσμάτων· μετὰ τὸ Ἀπολυτίκιον *Χαῖρε Κεχαριτωμένη* ἐκ τρίτου, Ἀπόλυσις καὶ Ἀπόδοσις. Ἀπόδειπνον Μέγα οὐ λέγομεν ταύτῃ τῇ ἑσπέρᾳ διὰ τὸ τῆς ἑορτῆς αἰδέσιμον, λέγομεν δὲ τὸ Μικρὸν Ἀπόδειπνον ἐν τοῖς κελλίοις· καὶ ταῦτα διὰ τοὺς ἐν πόλεσιν Ἱεροὺς Ναοὺς, ἐν δὲ ταῖς Ἱεραῖς Μοναῖς, ἐξακολουθήτωσαν κατὰ τὰ ἀρχαῖα τῶν Κτητόρων αὐτῶν Τυπικά. Αὕτη ἐστὶ ἡ γνώμη τῶν ἀοιδίμων Πατριαρχῶν Κωνσταντίου τοῦ Βυζαντίου καὶ Γρηγορίου τοῦ ς'.

Ἡ ἑορτὴ τῆς Ὑπαπαντῆς δυνατὸν νὰ συμπέσῃ ἐν τῷ Τριῳδίῳ ἀπὸ τῆς Κυριακῆς τοῦ Τελώνου καὶ Φαρισαίου μέχρι τῆς Δευτέρας τῆς Α' ἑβδομάδος τῶν Νηστειῶν (Ὅρα τὸν Πίνακα τῶν ΛΔ' Πασχαλίων).

Τῇ Γ'.—Τοῦ ἁγίου Ἱερομάρτυρος Χαραλάμπους.

ΠΕΡΙΠΤΩΣΕΙΣ.

Α'.

1. Εἰ τύχοι ἡ μνήμη τοῦ Ἱερομάρτυρος ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν τῆς Κυριακῆς ἀπὸ τῆς ἐνάρξεως τοῦ Τριῳδίου μεχρι τῆς Παρασκευῆς τῆς Τυρινῆς, ἡ Ἀκολουθία αὐτοῦ ψάλλεται ὡς ἐστι διατεταγμένη ἐν τῷ Μηναίῳ. Εἰς τὸν Ὄρθρον, Καταβασίαι *Ἀνοίξω τὸ*

στόμα μου καὶ Κοντάκιον ἐν τῇ Λειτουργίᾳ *Προστασία τῶν Χριστιανῶν*.

Β'.

2. Εἰ τύχοι ἐν ἡμέρᾳ Κυριακῇ ἄνευ Τριῳδίου, ἡ Ἀκολουθία τοῦ Ἁγίου μετὰ τῆς Ἀναστασίμου ψάλλεται ὡς καὶ εἰς ἄλλων ἑορταζομένων Ἁγίων μνήμας, ὅταν τύχωσιν ἐν Κυριακῇ· Δοξαστικὸν τῶν Αἴνων ψάλλεται τὸ Ἑωθινόν, ὁ Ἀπόστολος τοῦ Ἁγίου καὶ τὸ Εὐαγγέλιον τῆς Κυριακῆς· Κοντάκιον *Προστασία τῶν Χριστιανῶν*, Κοινωνικὸν *Αἰνεῖτε* κτλ.

Γ'.

3. Εἰ τύχοι ἐν ταῖς πρώταις τέσσαρσι Κυριακαῖς τοῦ Τριῳδίου, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Ἀναστάσιμα δ', τοῦ Τριῳδίου γ' καὶ τοῦ Ἁγίου γ'. Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τοῦ Ἁγίου· εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρά. Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τοῦ Τριῳδίου· τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Ἁγίου, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

4. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν ψάλλεται ὁ Τριαδικὸς κανὼν καὶ ἡ Λιτὴ τοῦ Ἁγίου, Δόξα Καὶ νῦν τοῦ Τριῳδίου (ἐὰν ὑπάρχῃ) εἰ δὲ μὴ Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τὸ Θεοτοκίον καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*· εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν· εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος. Τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν, καὶ τὸ τῆς γ' Στιχολογίας Κάθισμα τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον· τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες, ὁ Ἀναστάσιμος, ὁ τοῦ Τριῳδίου καὶ ὁ τοῦ Ἁγίου. Ἀπὸ γ' Ὠδῆς, τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, εἶτα ψάλλεται τὸ Κάθισμα τοῦ Ἁγίου, τὸ τοῦ Τριῳδίου καὶ τὸ Θεοτοκίον· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Τριῳδίου, τὸ Μηνολόγιον τοῦ Ἁγίου καὶ τὸ Ὑπόμνημα τῆς Κυριακῆς· αἱ Καταβασίαι τοῦ Τριῳδίου καὶ ἅπασα ἡ ἐν ταῖς Κυριακαῖς τοῦ Τριῳδίου διάταξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν*

τιμιωτέραν, τὸ ἀναστάσιμον Ἐξαποστειλάριον, τὸ τοῦ Τριῳδίου, τὸ τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα γ', τοῦ Τριῳδίου δ' καὶ τοῦ Ἁγίου γ'. Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν *Ὑπερευλογημένη*· Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

5. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ δ' ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τοῦ Τριῳδίου. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Ἁγίου, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον τοῦ Τριῳδίου· Ἀπόστολος τοῦ Ἁγίου καὶ Εὐαγγέλιον τοῦ Τριῳδίου. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Δ'.

6. Εἰ τύχοι τῷ Σαββάτῳ τῶν Ψυχῶν, ἡ Ἀκολουθία τοῦ Ἁγίου προψάλλεται τῇ Παρασκευῇ μετὰ τῆς Ἀποδόσεως τῆς Ὑπαπαντῆς ὡς ἐφεξῆς.

Τῇ Πέμπτῃ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὴν α' Στάσιν τοῦ Ψαλτηρίου, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τῆς ἑορτῆς Ἰδιόμελα γ' καὶ τοῦ Ἁγίου Προσόμοια γ', Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τῆς ἑορτῆς, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τοῦ Ἁγίου. Εἰς τὰ Ἀπόστιχα, τὰ γ' Ἰδιόμελα τῆς ἑορτῆς, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τῆς ἑορτῆς, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς, τὸ τοῦ Ἁγίου, αὖθις τὸ τῆς ἑορτῆς, καὶ Ἀπόλυσις.

7. Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν ψάλλεται ἡ Λιτὴ τοῦ Ἁγίου· εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος τοῦ Ἁγίου, τὰ Καθίσματα τοῦ Ἁγίου καὶ τὰ τῆς ἑορτῆς ἀντὶ Θεοτοκίων, οἱ Ἀναβαθμοὶ, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου, τὸ Προκείμενον *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει*, τὸ *Πᾶσα πνοὴ* καὶ τοῦ Ὄρθρου Εὐαγγέλιον τοῦ Ἁγίου, ὁ Ν' ψαλμὸς χῦμα, Δόξα *Ταῖς τοῦ ἀθλοφόρου*, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου*, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον τοῦ Ἁγίου *Φάλαγγα θεοστεφῆ*, Κανόνες ὁ τῆς ἑορτῆς καὶ ὁ τοῦ Ἁγίου· ἀπὸ γ' Ὠδῆς Κάθισμα τοῦ Ἁγίου καὶ τὸ τῆς ἑορτῆς· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Ἁγίου καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Χέρσον ἀβυσσοτόκον*, καὶ ψάλλονται τὰ Μεγαλυνάρια τῆς ἑορτῆς *Ἀκατάληπτόν ἐστιν* ὡς ἐν τῇ ἡμέρᾳ τῆς ἑορτῆς, τὸ Ἐξα-

ποστειλάριον τῆς ἑορτῆς, τὸ τοῦ Ἁγίου καὶ αὖθις τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, τῆς ἑορτῆς Προσόμοια γ΄ καὶ γ΄ τοῦ Ἁγίου, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τῆς ἑορτῆς, Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς.

8. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς καὶ τὸ Εἰσοδικὸν *Ἐγερώρισε Κύριος*, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς, τὸ τοῦ Ἁγίου καὶ τὸ Κοντάκιον *Ὁ μήτραν παρθενικὴν*, Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Ἁγίου. Εἰς τὸ Ἐξαιρέτως *Θεοτόκε ἡ ἐλπὶς*, Κοινωνικὸν *Ποτήριον σωτηρίου, Εὐδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ αὐτῇ Παρασκευῇ ἑσπέρας καὶ τὸ πρωὶ ψάλλεται ἡ Ἀκολουθία τῶν Ψυχῶν κατὰ τὴν τοῦ Τριῳδίου διάταξιν.

Ε΄.

9. Εἰ τύχοι τῇ Τετάρτῃ ἢ τῇ Παρασκευῇ τῆς Τυρινῆς, ἡ Ἀκολουθία τοῦ Ἁγίου ψάλλεται κατὰ τὴν τοῦ Μηναίου διάταξιν, ἄνευ τῶν ἐν τῷ Τριῳδίῳ Ἰδιομέλων τῆς ἡμέρας, καὶ τελεῖται ἡ Λειτουργία τοῦ Χρυσοστόμου, Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Ἁγίου, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου* καὶ Κοντάκιον *Προστασία τῶν Χριστιανῶν*.

Ϛ΄.

10. Εἰ τύχοι τῷ Σαββάτῳ τῆς Τυρινῆς, τῇ Παρασκευῇ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Προσόμοια τοῦ Ἁγίου γ΄ καὶ τῶν Ὁσίων πατέρων γ΄, Δόξα τοῦ Ἁγίου *Ἔθυσας τῷ Θεῷ*, Καὶ νῦν *Ὁ διὰ σὲ Θεοπάτωρ*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τοῦ Ἁγίου. Εἰς τὰ Ἀπόστιχα, τὰ Προσόμοια τοῦ Ἁγίου, Δόξα τῶν Ὁσίων, Καὶ νῦν *Δέσποινα πρόσδεξαι*, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, τῶν Ὁσίων, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

11. Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον, μετὰ τὴν νενομισμένην τῆς Ἀκολουθίας διάταξιν, Εὐαγγέλιον τοῦ Ὄρθρου λέγεται τὸ τοῦ Ἁγίου, Κανόνες ὁ τῆς Θεοτόκου *Ὑγρὰν διοδεύσας*, ὁ τοῦ Ἁγίου καὶ ὁ τῶν Ὁσίων, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου*, τὰ Ἐξαποστειλάρια, τοῦ Ἁγίου, τῶν Ὁσίων, καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, Προσόμοια τοῦ Ἁγίου γ΄ καὶ τῶν Ὁσίων γ΄, Δόξα τοῦ Ἁγίου *Ὥσπερ ἀλάβαστρον πλῆρες*, Καὶ νῦν *Μακαρίζομέν σε*,

Δοξολογία Μ. τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, καὶ καθεξῆς ἡ Λειτουργία τοῦ Χρυσοστόμου, Κοντάκιον *Προστασία τῶν Χριστιανῶν*, Ἀπόστολος τοῦ Ἁγίου καὶ Εὐαγγέλιον τῶν Ὁσίων, Κοινωνικὸν *Εἰς μνημόσυνον* κτλ.

Ζ΄.

12. Εἰ τύχοι τῇ Δευτέρᾳ τῆς Α΄ ἑβδομάδος τῶν Νηστειῶν, ἡ Ἀκολουθία μετατίθεται καὶ ψάλλεται τῇ Κυριακῇ τῆς Τυρινῆς, κατὰ τὴν προεκτεθεῖσαν διάταξιν ἐν § 3, 4, 5.

Η΄.

13. Εἰ τύχοι τῇ τρίτῃ τῆς Α΄ ἑβδομάδος τῶν Νηστειῶν, τῇ Δευτέρᾳ πρωὶ ἐν τῷ Ἑσπερινῷ, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Προσόμοια τῆς ἡμέρας τοῦ Τριῳδίου γ΄ καὶ τοῦ Ἁγίου γ΄ τὰ πρὸς τὸ *Ἔδωκας σημείωσιν*, Δόξα Καὶ νῦν Προσόμοιον Θεοτοκίον, *Φῶς ἱλαρὸν* καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας. Εἰς τὰ Ἀπόστιχα, τὸ Ἰδιόμελον τῶν Ἀποστίχων δὶς, καὶ τὸ Μαρτυρικὸν, Δόξα Καὶ νῦν Θεοτοκίον Προσόμοιον, *Νῦν ἀπολύεις*, τὸ Τρισάγιον, τὸ *Θεοτόκε Παρθένε* κτλ. καὶ Ἀπόλυσις.

Τὸ ἑσπέρας, εἰς τὸ Μ. Ἀπόδειπνον ψάλλεται εἰς τοὺς Στίχους τοῦ *Παναγία Δέσποινα Θεοτόκε* καὶ τὸ τοῦ Ἁγίου, μετὰ τὸν Στίχον τοῦ Ἁγίου τοῦ Ναοῦ οὕτως *Ἅγιε ἔνδοξε Ἱερομάρτυς καὶ Θαυματουργὲ Χαράλαμπες, πρέσβευε ὑπὲρ ἡμῶν τῶν ἁμαρτωλῶν*.

14. Τῇ Τρίτῃ εἰς τὸν Ὄρθρον, οὐδὲν τῶν τοῦ Τριῳδίου ψάλλομεν, ἀλλὰ μετὰ τὸν Ν΄ ψαλμὸν, ψάλλεται ἡ Λιτὴ τοῦ Ἁγίου, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου δὶς, καὶ ἅπαξ τὸ Θεοτοκίον, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ Καθίσματα τοῦ Ἁγίου κατὰ σειρὰν μετὰ τῶν Θεοτοκίων, οἱ Ἀναβαθμοὶ, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου, τὸ Προκείμενον *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου, εἶτα ὁ Ν΄ ψαλμὸς χῦμα, Δόξα *Ταῖς τοῦ Ἀθλοφόρου*, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου*, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς*, καὶ τὸ Ἰδιόμελον *Φάλαγγα θεοστεφῆ*, ὁ Κανὼν τῆς Θεοτόκου *Ὑγρὰν διοδεύσας*, καὶ ὁ τοῦ Ἁγίου· ἀπὸ γ΄ Ὠδῆς τὸ Κάθισμα καὶ τὸ Θεοτοκίον· ἀφ΄ ς΄ τὸ Κοντάκιον καὶ ὁ

Οἶκος τοῦ Ἁγίου καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου* καὶ στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, τὸ Ἐξαποστειλάριον καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, τὰ δ' τοῦ Ἁγίου Προσόμοια, Δόξα *Ὥσπερ ἀλάβαστρον πλῆρες*, Καὶ νῦν *Μακαρίζομέν σε*, Δοξολογία Μεγάλη, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου καὶ ἀναγινώσκονται αἱ Ὧραι λιταὶ, ἐν αἷς λέγεται Ἀπολυτίκιον καὶ Κοντάκιον τοῦ Ἁγίου. Εἰς τὴν Θ' Ὥραν ψάλλονται οἱ Μακαρισμοὶ, εἶτα τὸ *Χορὸς ὁ ἐπουράνιος*, τὸ *Πιστεύω εἰς ἕνα Θεὸν*, ἡ Εὐχὴ *Ἄνες, ἄφες*, τὸ *Πάτερ ἡμῶν*, *Ὅτι σοῦ ἐστιν*, καὶ τὸ Κοντάκιον τοῦ Ἁγίου· τὸ *Κύριε ἐλέησον μ'*, *Ὁ ἐν παντὶ καιρῷ*, *Τὴν τιμιωτέραν τῶν Χερουβὶμ*, *Ἐν ὀνόματι Κυρίου*, *Ὁ Θεὸς οἰκτειρήσαι ἡμᾶς*, καὶ ποιοῦμεν τὰς διατετυπωμένας τρεῖς μεγάλας Μετανοίας, εἶτα τὸ Τρισάγιον, *Κύριε ἐλέησον* ιβ' καὶ ἡ Εὐχὴ *Παναγία Τριὰς* καὶ εὐθὺς ἡ Ἀπόλυσις, καὶ ἄρχεται ἡ Λειτουργία τῶν Προηγιασμένων.

15. Ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὸ τῶν Ἀποστίχων Ἰδιόμελον *Νηστείαν*, *οὐκ ἀποχὴν βρωμάτων* δὶς, καὶ τὸ Μαρτυρικὸν, εἶτα τὰ γ' τῆς σειρᾶς Προσόμοια *Βρώσει πάλαι πικρᾷ* καὶ δ' Προσόμοια τοῦ Ἁγίου *Ὅλος ἐκ νεότητος*, Δόξα *Ἔθυσας τῷ Θεῷ*, Καὶ νῦν Σταυροθεοτοκίον, Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω*, καὶ ἡ Εὐλόγησις τῶν ἄρτων· μετὰ τὸ *Πλούσιοι ἐπτώχευσαν* εὐθὺς ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τοῦ Ἁγίου, τὸ *Νῦν αἱ δυνάμεις* καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων, Κοινωνικὸν *Εἰς μνημόσυνον*, τὸ *Εὐλογήσω τὸν Κύριον*, καὶ Ἀπόλυσις. Ἐν δὲ τῇ τραπέζῃ ξηροφαγία.

Θ'.

16. Εἰ τύχοι τῇ Τετάρτῃ τῆς αὐτῆς ἑβδομάδος, τῇ Τρίτῃ πρωὶ ὁ τῆς Παραμονῆς Ἑσπερινὸς ψάλλεται ὡς διετυπώθη ἐν περιπτώσει Η' § 13, ἡ δὲ Ἀκολουθία τοῦ Ὄρθρου, τῶν Ὡρῶν, τοῦ Ἑσπερινοῦ καὶ τῆς Λειτουργίας τῶν Προηγιασμένων ψάλλεται κατὰ τὴν ἐκεῖ ἐν § 14, 15 διάταξιν. Ἐν τῷ Ἑσπερινῷ, Καὶ νῦν Προσόμοιον Θεοτοκίον.

Ι'.

17. Εἰ τύχοι τῇ Πέμπτῃ τῆς αὐτῆς ἑβδομάδος, τῇ Τετάρτῃ πρωὶ μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὸ Ἰδιόμελον *Νηστεύσαντες ἀδελφοὶ σωματικῶς* δὶς, καὶ τὸ Μαρτυρικὸν, γ' Προσόμοια τῆς σειρᾶς, καὶ δ' τοῦ Ἁγίου, Δόξα Καὶ νῦν Προστόμοιον, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὰ Ἀναγνώσματα τοῦ Τριῳδίου, τὸ *Κατευθυνθήτω*, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων.

Τῇ Πέμπτῃ πρωὶ, ἡ Ἀκολουθία τοῦ Ὄρθρου, τῶν Ὡρῶν, τοῦ Ἑσπερινοῦ καὶ τῆς Λειτουργίας τῶν Προηγιασμένων, ψάλλεται ὡς διετυπώθη ἐν τῇ Η' περιπτώσει, § 14, 15, Καὶ νῦν εἰς τὸ Δοξαστικὸν τοῦ Ἑσπερινοῦ Σταυροθεοτοκίον.

ΙΑ'.

18. Εἰ τύχοι τῇ Παρασκευῇ τῆς αὐτῆς ἑβδομάδος, τῇ Πέμπτῃ πρωὶ εἰς τὸν Ἑσπερινὸν ψάλλονται μετὰ τὰ γ' Προσόμοια τῆς ἡμέρας καὶ γ' Προσόμοια τοῦ Ἁγίου, κατὰ τὴν ἐν περιπτώσει Η' § 13 διατυπωθεῖσαν τάξιν.

Τῇ δὲ Παρασκευῇ τὸ πρωὶ, ἡ Ἀκολουθία τοῦ Ὄρθρου μετὰ τῶν Ὡρῶν ψάλλεται κατὰ τὴν ἐν τῇ Η' περιπτώσει § 14 διάταξιν. Ὁ δὲ Ἑσπερινὸς μετὰ τῆς Λειτουργίας τῶν Προηγιασμένων ὡς ἐφεξῆς.

19. Ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν, καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὸ Ἰδιόμελον τῆς ἡμέρας *Δεῦτε πιστοὶ ἐπεργασώμεθα* δὶς, δ' Προσόμοια τοῦ ἁγίου Χαραλάμπους, καὶ δ' τοῦ ἁγίου Θεοδώρου. Δόξα *Ἔθυσας τῷ Θεῷ*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ τυχόντος ἤχου. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα τοῦ Τριῳδίου, τὸ *Κατευθυνθήτω*, καὶ ἡ εὐλόγησις τῶν ἄρτων, εἶτα εὐθὺς ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τοῦ Ἁγίου· *Νῦν αἱ δυνάμεις*, Κοινωνικὸν *Εἰς μνημόσυνον*, *Εὐλογήσω τὸν Κύριον* καὶ Ἀπόλυσις.

Τὸ ἑσπέρας ἀναγινώσκονται οἱ Οἶκοι τῆς Θεοτόκου, ὡς εἴθισται, τὸ Κοντάκιον *Πίστει Χριστοῦ ὡσεὶ θώρακα* κτλ.

ΙΒ'.

20. Εἰ τύχοι τῷ Σαββάτῳ τῆς αὐτῆς ἑβδομάδος, τῇ Παρασκευῇ πρωὶ ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὸ Ἰδιόμελον *Δεῦτε πιστοὶ* δὶς, δ' Προσόμοια τοῦ ἁγίου Χαραλάμπους, καὶ δ' τοῦ ἁγίου Θεοδώρου· Δόξα *Ὀργάρῳ χρησάμενος ὁ δυσμενὴς*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ τυχόντος ἤχου. Εἴσοδος μετὰ Θυμιατοῦ, *Φῶς ἱλαρὸν*, τὰ Ἀναγνώσματα τῆς ἡμέρας, *Νῦν αἱ δυνάμεις*, Κοινωνικὸν *Γεύσασθε, Εὐλογήσω τὸν Κύριον* καὶ Ἀπόλυσις.

Τὸ ἑσπέρας ἀναγινώσκονται οἱ Οἶκοι τῆς Θεοτόκου, ὡς εἴθισται, καὶ μετὰ τὸ Εὐαγγέλιον λέγεται τὸ Κοντάκιον τοῦ ἁγίου Χαραλάμπους.

21. Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ψάλλεται ἡ Λιτὴ τοῦ ἁγίου Χαραλάμπους, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Μεγάλα τὰ τῆς πίστεως* καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια τῶν Ἁγίων, μετὰ τῶν Θεοτοκίων. Εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος. Καθίσματα εἰς τὴν α' Στιχολογίαν, τὸ τοῦ ἁγίου Χαραλάμπους καὶ τὸ Θεοτοκίον. Εἰς τὴν δ' Στιχολογίαν τὸ ἐν τῷ Τριῳδίῳ *Ζέων πίστεως* καὶ τὸ Θεοτοκίον· καὶ εἰς τὴν γ' τὸ τοῦ ἁγίου Χαραλάμπους καὶ τὸ Θεοτοκίον· οἱ Ἀναβαθμοὶ, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου, τὸ Προκείμενον *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον τοῦ ἁγίου Χαραλάμπους· ὁ Ν' ψαλμὸς χῦμα, Δόξα *Ταῖς τῶν ἀθλοφόρων*, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου*· ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Φάλαγγα Θεοστεφῆ*. Κανόνες ὁ α' τοῦ Τριῳδίου καὶ ὁ τοῦ ἁγίου Χαραλάμπους· ἀπὸ γ' Ὠδῆς τὸ Κοντάκιον καὶ ὁ Οἶκος τοῦ Τριῳδίου, εἶτα τὸ Κάθισμα τοῦ Ἁγίου, τὸ τοῦ Τριῳδίου, καὶ τὸ Θεοτοκίον· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ ἁγίου Χαραλάμπους καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων· αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου*, εἰς τὴν δ' Ὠδὴν *Ὁ καθήμενος ἐν δόξῃ*· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, τὸ Ἐξαποστειλάριον τοῦ ἁγίου Χαραλάμπους καὶ τὰ δύο τοῦ Τριῳδίου. Εἰς τοὺς Αἴνους, γ' Προσόμοια τοῦ ἁγίου Χαραλάμπους καὶ γ' τοῦ Τριῳδίου· Δόξα *Ὥσπερ ἀλάβαστρον πλῆρες*, Καὶ νῦν *Μακαρίζομέν σε*· Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον *Μεγάλα τὰ τῆς πίστεως*.

22. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ, Τροπάρια δ' ἐκ τῆς γ' Ὠδῆς τοῦ Μηναίου καὶ δ' ἐκ τῆς ς' Ὠδῆς τοῦ Τριῳδίου. Μετὰ τὴν Εἴσοδον, τὰ Ἀπολυτίκια τῶν Ἁγίων τῆς ἡμέρας, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Προστασία τῶν Χριστιανῶν*· Ἀπόστολος τοῦ Ἁγίου καὶ Εὐαγγέλιον τῆς ἡμέρας. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Εἰς μνημόσυνον*, Εἴδομεν *τὸ φῶς* καὶ Ἀπόλυσις.

ΙΓ'.

23. Εἰ τύχοι τῇ Κυριακῇ τῆς Ὀρθοδοξίας, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ', τοῦ Τριῳδίου γ' καὶ γ' τοῦ Ἁγίου. Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τοῦ Ἁγίου. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τὸ τοῦ Τριῳδίου· τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Τριῳδίου, τὸ τοῦ Ἁγίου, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

24. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ψάλλεται ὁ Τριαδικὸς κανὼν καὶ ἡ Λιτὴ τοῦ Ἁγίου. Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τοῦ Τριῳδίου *Χαίρετε προφῆται τίμιοι* καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Τὴν ἄχραντον εἰκόνα σου* καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς ἐν τῷ Ἑσπερινῷ· εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος· τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν, καὶ τὰ τῆς γ' Στιχολογίας τοῦ Ἁγίου μετὰ τοῦ Θεοτοκίου· τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος, ὁ τοῦ Τριῳδίου καὶ ὁ τοῦ Ἁγίου· ἀπὸ γ' Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, εἶτα τὸ Κάθισμα τοῦ Τριῳδίου, τὸ τοῦ Ἁγίου, καὶ τὸ Θεοτοκίον· ἀφ' ς' τὸ Κοντάκιον καὶ ὁ Οἶκος τοῦ Τριῳδίου, τὸ Μηνολόγιον τοῦ Ἁγίου καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου· αἱ Καταβασίαι *Θαλάσσης τὸ ἐρυθραῖον πέλαγος*, καὶ ἅπασα ἡ ἐν ταῖς Κυριακαῖς τοῦ Τριῳδίου διάταξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*· Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τὸ τοῦ Τριῳδίου, τὸ τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα β', τοῦ Τριῳδίου γ' καὶ τοῦ Ἁγίου γ'. Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν *Ὑπερευλογημένη*. Δοξολογία Μεγάλη καὶ τὸ Σήμερον *σωτηρία*.

25. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς Κυριακῆς (Ὅρα ἐν τῷ Ὡρολογίῳ τῇ Κυριακῇ τῆς Ὀρθοδοξίας). Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Τριῳδίου, τοῦ Ἁγίου, τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Τῇ ὑπερμάχῳ*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς καὶ καθεξῆς, ἡ Λειτουργία τοῦ Μ. Βασιλείου, Κοινωνικὸν *Αἰνεῖτε*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

ΙΔ'.

26. Εἰ τύχοι τῇ Δευτέρᾳ τῆς Β' ἑβδομάδος, τῇ Κυριακῇ ἑσπέρας, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ Κατανυκτικὰ τοῦ ἤχου οὐ ψάλλονται, ἀλλὰ τὰ γ' Προσόμοια τῆς σειρᾶς τοῦ Τριῳδίου *Δίδου μοι κατάνυξιν*, καὶ τὰ ἕτερα β' καὶ γ' τοῦ ἁγίου Χαραλάμπους *Ὅλος ἐκ νεότητος*, Δόξα *Ἔθυσας τῷ Θεῷ*, Καὶ νῦν Προσόμοιον Θεοτοκίον, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Μέγα Προκείμενον *Ἔδωκας κληρονομίαν*, μετὰ τῶν Στίχων αὐτοῦ ἐκ τρίτου. Εἰς τὰ Ἀπόστιχα ψάλλεται τὸ Ἰδιόμελον *Δεῦτε ἐκκαθάρωμεν* ἀργῶς, δὶς, καὶ τὸ Μαρτυρικὸν, Δόξα *Τὸν νοερὸν ἀθάμαρτα*, Καὶ νῦν *Ἐκ παρθένου κυήσασα*, *Νῦν ἀπολύεις*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, τὸ Θεοτοκίον, καὶ Ἀπόλυσις.

Τὸ *Θεοτόκε Παρθένε* οὐ ψάλλεται, διὰ τὸ τελεῖσθαι αὔριον Λειτουργίαν Προηγιασμένην.

27. Τῇ Δευτέρᾳ πρωΐ, ἡ Ἀκολουθία τοῦ Ὄρθρου τοῦ Ἁγίου ἀπὸ τῆς Λιτῆς μέχρι τῆς Δοξολογίας, ὡς καὶ τῶν Ὡρῶν, ψάλλεται ὡς διετάχθη ἐν περιπτώσει Η' § 14. Ἐν δὲ τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὸ τῶν Ἀποστίχων Ἰδιόμελον *Τὴν σωματικὴν νηστείαν* δὶς, καὶ τὸ Μαρτυρικὸν, τῆς σειρᾶς Προσόμοια γ' *Τίνι ὡμοιώθης ταλαίπωρε*, καὶ τοῦ Ἁγίου δ' *Ἔδωκας τὸ σῶμά σου*, Δόξα *Φάλαγγα θεοστεφῆ*, Καὶ νῦν Προσόμοιον Θεοτοκίον, Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν*, τὰ Ἀναγνώσματα τοῦ Τριῳδίου, τὸ *Κατευθυνθήτω* καὶ ἡ τῶν ἄρτων εὐλόγησις· μετὰ τὸ *Πλούσιοι ἐπτώχευσαν*, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τοῦ Ἁγίου, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων, Κοινωνικὸν *Εἰς μνημόσυνον*, *Εὐλογήσω τὸν Κύριον* καὶ Ἀπόλυσις.

28. Εἰ τύχοι τῇ Τρίτῃ τῆς αὐτῆς ἑβδομάδος, ἅπασαν τὴν τῆς

Ἀκολουθίας διάταξιν ὅρα ἐν περιπτώσει Η' § 13, 14, 15 (Ἐννοεῖται ὅμως ὅτι ἐκ τοῦ Τριῳδίου λέγονται τὰ τῆς ἡμέρας).

Σημειωτέον ὅτι ἡ μνήμη τοῦ ἁγίου Χαραλάμπους δύναται νὰ συμπέσῃ ἐν τῷ Τριῳδίῳ, ἀπὸ τῆς Κυριακῆς τοῦ Τελώνου καὶ Φαρισαίου, μέχρι τῆς Τρίτης τῆς Β' ἑβδομάδος τῶν Νηστειῶν, ὡς ὁρᾶται ἐν τῷ τοῦ Ἑορτοδρομίου Πίνακι.

Τῇ ΚΔ'.—Ἡ α' καὶ β' εὕρεσις τῆς τιμίας κεφαλῆς τοῦ Προδρόμου.

ΠΕΡΙΠΤΩΣΕΙΣ

Α'.

1. Εἰ τύχοι ἡ ἑορτὴ αὕτη ἐν πάσῃ ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἀπὸ τῆς Πέμπτης τῆς ἑβδομάδος τοῦ Ἀσώτου μέχρι τῆς Παρασκευῆς τῆς Τυρινῆς, ἡ Ἀκολουθία ψάλλεται ὡς ἐστι διατεταγμένη ἐν τῷ Μηναίῳ.

Β'.

2. Εἰ τύχοι τῷ Σαββάτῳ τῶν Ψυχῶν, ἡ Ἀκολουθία προψάλλεται τῇ Παρασκευῇ μετὰ τῆς τοῦ ἁγίου Πολυκάρπου, ἡ δὲ τῶν Ψυχῶν ψάλλεται ἀμεταθέτως τῷ Σαββάτῳ.

Γ'.

3. Εἰ τύχοι τῇ Κυριακῇ τῆς Ἀπόκρεω ἢ τῆς Τυρινῆς, τὴν διάταξιν τῆς Ἀκολουθίας ὅρα ἐν τῇ μνήμῃ τοῦ ἁγίου Χαραλάμπους, ἐν περιπτώσει Γ' § 3, 4, 5.

Δ'.

4. Εἰ τύχοι τῷ Σαββάτῳ τῆς Τυρινῆς, ἡ Ἀκολουθία ψάλλεται κατὰ τὴν διάταξιν τῆς Ἀκολουθίας τοῦ ἁγίου Χαραλάμπους ἐν περιπτώσει Ϛ' § 10, 11.

Ε'.

5. Εἰ τύχοι τῇ Δευτέρᾳ τῆς Α' ἑβδομάδος τῶν Νηστειῶν, ἡ Ἀκολουθία αὐτοῦ προψάλλεται τῇ Κυριακῇ τῆς Τυρινῆς, κατὰ τὴν

διάταξιν τῆς Ἀκολουθίας τοῦ ἁγίου Χαραλάμπους ἐν περιπτώσει Γ' § 3, 4, 5.

Ϛ'.

6. Εἰ τύχοι τῇ Τρίτῃ τῆς Α' ἑβδομάδος τῶν Νηστειῶν, τῇ Δευτέρᾳ πρωὶ μετὰ τὸν Προοιμιακὸν καὶ τὸ *Κύριε ἐκέκραξα*, ψάλλομεν γ' Προσόμοια τῆς σειρᾶς τοῦ Τριῳδίου καὶ γ' τοῦ Προδρόμου *Χαίροις ἡ ἱερὰ κεφαλὴ*, Δόξα Καὶ νῦν Προσόμοιον Θεοτοκίον, τὸ *Φῶς ἱλαρὸν* καὶ τὰ Ἀναγνώσματα τοῦ Τριῳδίου. Εἰς τὰ Ἀπόστιχα, τὸ τοῦ Τριῳδίου Ἰδιόμελον δὶς, καὶ τὸ Μαρτυρικὸν ἅπαξ, Δόξα Καὶ νῦν Θεοτοκίον, *Νῦν ἀπολύεις*, τὸ Τρισάγιον, τὸ *Θεοτόκε Παρθένε*, καὶ Ἀπόλυσις.

7. Τῇ Τρίτῃ πρωὶ μετὰ τὸν Ἑξάψαλμον, εἰς τὸ *Θεὸς Κύριος* τὸ Ἀπολυτίκιον *Ἐκ γῆς ἀνατείλασα* δὶς, καὶ τὸ Θεοτοκίον, εἶτα τὸ Ψαλτήριον, τὰ Καθίσματα κατὰ σειρὰν *Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου*, οἱ Ἀναβαθμοὶ, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου, τὸ Προκείμενον, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον, ὁ Ν' χῦμα, Δόξα *Ταῖς τοῦ σοῦ Προδρόμου*, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου*, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Ἡ τῶν θείων ἐννοιῶν*, ὁ Κανὼν *Ὑγρὰν διοδεύσας* καὶ ὁ τοῦ Προδρόμου κτλ. αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου*, καὶ μετὰ *Τὴν τιμιωτέραν*, τὸ Ἐξαποστειλάριον καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, τὰ Προσόμοια *Ἤνοιξε προπύλαια* εἰς δ', Δόξα *Τὴν παρσεβάσμιον κάραν*, Καὶ νῦν *Θεοτόκε σὺ εἶ ἡ ἄμπελος*, Δοξολογία Μ. τὸ Ἀπολυτίκιον, καὶ ἀναγινώσκονται αἱ Ὧραι, ἐν αἷς λέγεται Ἀπολυτίκιον *Ἐκ γῆς ἀνατείλασα*, καὶ Κοντάκιον *Προφῆτα Θεοῦ καὶ Πρόδρομε*. Εἰς τὴν Θ' Ὥραν ψάλλονται οἱ Μακαρισμοὶ, ὡς εἴθισται, καθὼς διετάχθησαν ἐν τῇ τοῦ ἁγίου Χαραλάμπους ἑορτῇ ἐν περιπτώσει Η' § 14.

8. Εἰς τὸν Ἑσπερινὸν, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὸ τῶν Ἀποστίχων Ἰδιόμελον τῆς ἡμέρας δὶς, καὶ τὸ Μαρτυρικὸν, εἶτα τὰ γ' τοῦ Τριῳδίου Προσόμοια καὶ δ' τοῦ Προδρόμου *Δεῦτε τὴν τιμίαν κεφαλὴν*, Δόξα *Ἡ τῶν θείων ἐννοιῶν*, Καὶ νῦν Σταυροθεοτοκίον, Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα, τὸ *Κατευθυνθήτω*, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τοῦ Προδρόμου, τὸ *Νῦν αἱ*

δυνάμεις, Κοινωνικὸν *Εἰς Μνημόσυνον*, *Εὐλογήσω τὸν Κύριον* καὶ Ἀπόλυσις.

Ζ'.

9. Εἰ τύχοι τῇ Τετάρτῃ, Πέμπτῃ, ἢ Παρασκευῇ τῆς αὐτῆς ἑβδομάδος, τὴν τυπικὴν διάταξιν τῆς Ἀκολουθίας ὅρα ἐν τῇ ἑορτῇ τοῦ ἁγίου Χαραλάμπους κατὰ τὴν Θ' καὶ ΙΑ' περίπτωσιν § 16—19.

Η'.

10. Εἰ τύχοι τῷ Σαββάτῳ τῆς αὐτῆς ἑβδομάδος, τῇ Παρασκευῇ πρωὶ, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὸ Ἰδιόμελον τῆς ἡμέρας *Δεῦτε πιστοὶ ἐπεργασώμεθα* δὶς, τοῦ Προδρόμου Προσόμοια δ' καὶ δ' τοῦ ἁγίου Θεοδώρου, Δόξα *Ὀργάνῳ χρησάμενος*, Καὶ Νῦν τὸ α' Θεοτοκίον τοῦ τυχόντος ἤχου, Εἴσοδος μετὰ θυμιατοῦ, *Φῶς ἱλαρὸν* καὶ τὰ Ἀναγνώσματα τοῦ Τριῳδίου, τὸ *Κατευθυνθήτω*, *Νῦν αἱ δυνάμεις*, Κοινωνικὸν *Γεύσασθε καὶ ἴδετε*, *Εὐλογήσω τὸν Κύριον* καὶ Ἀπόλυσις.

11. Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον, μετὰ τὸ Μεσονυκτικὸν καὶ τὸν Ἑξάψαλμον, εἰς τὸ *Θεὸς Κύριος* τὸ Ἀπολυτίκιον τοῦ Προδρόμου, τοῦ ἁγίου Θεοδώρου καὶ τὸ Θεοτοκίον. Καθίσματα ἀμφοτέρων τῶν Ἁγίων μετὰ τῶν Θεοτοκίων αὐτῶν, τὸ ά Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ' ἤχου, τὸ Προκείμενον *Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον τοῦ Προδρόμου, εἶτα ὁ Ν' ψαλμὸς χῦμα, Δόξα *Ταῖς τοῦ σοῦ Προδρόμου*, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου*, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Ἡ τῶν θείων ἐννοιῶν*, Κανόνες ὁ α' τοῦ Τριῳδίου καὶ ὁ τοῦ Προδρόμου· ἀπὸ γ' Ὠδῆς μετὰ τὸ Κοντάκιον καὶ τὸν Οἶκον τοῦ Προδρόμου τὰ τοῦ Μηναίου καὶ τοῦ Τριῳδίου, Καθίσματα μετὰ τῶν Θεοτοκίων· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Τριῳδίου, τὸ Μηνολόγιον τοῦ Προδρόμου καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου*, καὶ μετὰ *Τὴν τιμιωτέραν* Ἐξαποστειλάρια τοῦ Προδρόμου, τοῦ ἁγίου Θεοδώρου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, τοῦ Προδρόμου Προσόμοια γ' καὶ γ' τοῦ ἁγίου Θεοδώρου, Δόξα τοῦ Προδρόμου, Καὶ νῦν Θεοτοκίον, Δοξολογία Μ. τὸ

Ἀπολυτίκιον τοῦ Προδρόμου καὶ καθεξῆς ἡ Λειτουργία τοῦ Χρυσοστόμου, Κοντάκιον *Προστασία τῶν χριστιανῶν*, Ἀπόστολος τοῦ Τριῳδίου καὶ Εὐαγγέλιον τοῦ Προδρόμου, Κοινωνικὸν *Εἰς μνημόσυνον* καὶ Ἀπόλυσις.

Θ΄.

12. Εἰ τύχοι τῇ Α΄ Κυριακῇ τῶν Νηστειῶν[2], τὴν τῆς Ἀκολουθίας διάταξιν ὅρα ἐν τῇ τοῦ ἁγίου Χαραλάμπους ἑορτῇ ἐν περιπτώσει ΙΓ΄ § 23—25.

Ι΄.

13. Εἰ τύχοι τῇ Β΄ Κυριακῇ τῶν Νηστειῶν, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* Ἀναστάσιμα δ΄, τοῦ Προδρόμου γ΄ καὶ τοῦ ἁγίου Γρηγορίου γ΄, Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρά, Δόξα τοῦ Προδρόμου *Ἡ τῶν θείων ἐννοιῶν*, Καὶ νῦν *Ὦ θαύματος καινοῦ*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Προδρόμου, τοῦ ἁγίου Γρηγορίου, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

14. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν, καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὰ Κατανυκτικὰ *Ἐλέησον ἡμᾶς* καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν καὶ τὸ τῆς γ΄ Στιχολογίας τοῦ Προδρόμου καὶ τὸ Θεοτοκίον, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος, ὁ τοῦ Προδρόμου καὶ ὁ τοῦ ἁγίου Γρηγορίου· ἀπὸ γ΄ Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, τὸ Κάθισμα τοῦ Τριῳδίου, τοῦ Προδρόμου καὶ Θεοτοκίον· ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τοῦ Τριῳδίου, τὸ Μηνολόγιον τοῦ Προδρόμου καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου* καὶ ἅπασα ἡ ἐν ταῖς Κυριακαῖς τοῦ Τριῳδίου διάταξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, τὸ ἀναστάσιμον Ἐξαποστειλάριον, τοῦ Προδρόμου, τοῦ ἁγίου Γρηγορίου, καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα γ΄, τοῦ Προδρόμου γ΄ καὶ τοῦ ἁγίου Γρηγορίου δ΄, Δόξα *Τοῖς ἐν σκότει ἁμαρτημάτων*, Καὶ νῦν *Ὑπερευλογημένη*, καὶ τὸ *Σήμερον σωτηρία*.

15. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Κανόνος τοῦ Τριῳδίου δ΄. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Προδρόμου, τοῦ ἁγίου Γρηγορίου, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Τῇ ὑπερμάχῳ*, Ἀπόστολος τοῦ Προδρόμου, καὶ Εὐαγγέλιον τῆς Κυριακῆς, καὶ καθεξῆς ἡ Λειτουργία τοῦ Μ. Βασιλείου, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

ΙΑ΄.

16. Εἰ τύχοι τῇ Γ΄ Κυριακῇ τῶν Νηστειῶν, τῷ Σαββάτῳ εἰς τὸν Ἑσπερινὸν, ψάλλομεν στιχηρὰ Ἀναστάσιμα δ΄, τοῦ Σταυροῦ γ΄ καὶ τοῦ Προδρόμου γ΄. Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου. Εἰς τὰ Ἀπόστιχα, Δόξα τοῦ Προδρόμου, Καὶ νῦν *Ὁ συμμαχήσας Κύριε*, τὰ Ἀπολυτίκια, τὸ Ἀναστάσιμον, τοῦ Προδρόμου καὶ τὸ *Σῶσον Κύριε*. Τῷ πρωῒ εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, Καθίσματα ἀναστάσιμα καὶ ἀνὰ ἓν τοῦ Προδρόμου μετὰ τῶν Θεοτοκίων· εἰς τὴν γ΄ Στιχολογίαν, τοῦ Προδρόμου καὶ τὸ *Ἐν Παραδείσῳ*· εἶτα ὁ Κανὼν τοῦ Τριῳδίου καὶ ὁ τοῦ Προδρόμου. Ἀπὸ γ΄ Ὠδῆς μετὰ τὸ ἀναστάσιμον Κοντάκιον καὶ τὸν Οἶκον, Καθίσματα τοῦ Προδρόμου καὶ τοῦ Τριῳδίου. Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον, τοῦ Τριῳδίου, τοῦ Προδρόμου μετὰ τοῦ Θεοτοκίου. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ τοῦ Σταυροῦ δ΄. Εἰς τὴν Λειτουργίαν, μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ *Σῶσον Κύριε τὸν λαόν σου*, τοῦ Προδρόμου, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ καθεξῆς· Ἀπόστολος τοῦ Προδρόμου, καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Κοινωνικὸν *Ἐσημειώθη* κτλ.

17. Εἰ τύχοι τῇ Δευτέρᾳ τῆς Β΄ ἑβδομάδος ἢ τῆς Γ΄ ἢ τῆς Δ΄, τὴν τῆς Ἀκολουθίας διάταξιν ὅρα ἐν τῇ ἑορτῇ τοῦ ἁγίου Χαραλάμπους, περίπτωσιν ΙΔ΄ § 26, 27, καὶ ἐν πάσαις ταῖς λοιπαῖς περιπτώσεσι τὴν διάταξιν τῆς Ἀκολουθίας ὅρα ἐν τῇ ἑορτῇ τοῦ ἁγίου Χαραλάμπους.

---

2. *Τὸ τοῦ Κωνσταντίνου Τυπικὸν μετατίθησι τὴν ἑορτὴν τοῦ Προδρόμου τῷ Σαββάτῳ τῆς Β΄ ἑβδομάδος, ἤτοι τῇ Α΄ ἢ τῇ Β΄ τοῦ Μαρτίου.*

Σημειωτέον ὅτι ἡ ἑορτὴ αὕτη δυνατὸν νὰ συμπέσῃ ἐν τῷ Τριῳδίῳ, ἀπὸ τῆς Πέμπτης τῆς τοῦ Ἀσώτου ἑβδομάδος, μέχρι τῆς Τρίτης τῆς Δ΄ ἑβδομάδος τῶν Νηστειῶν, ὡς ὁρᾶται ἐν τῷ τοῦ Ἑορτοδρομίου Πίνακι.

ΜΗΝ ΜΑΡΤΙΟΣ

Τῇ Θ΄.—Τῶν ἁγίων Μ΄ Μαρτύρων.

ΠΕΡΙΠΤΩΣΕΙΣ

Α΄.

1. Εἰ τύχοι ἡ μνήμη τῶν Μαρτύρων τῇ Τετάρτῃ τῆς Α΄ ἑβδομάδος τῶν Νηστειῶν, τῇ Τρίτῃ πρωΐ, μετὰ τὸν Προοιμιακόν, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὰ γ΄ Προσόμοια τῆς σειρᾶς τοῦ Τριῳδίου καὶ τῶν Ἁγίων Προσόμοια *Φέροντες τὰ παρόντα γεναίως γ΄*, Δόξα Καὶ νῦν Προσόμοιον Σταυροθεοτοκίον, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας. Εἰς τὰ Ἀπόστιχα, τὸ Ἰδιόμελον τῶν Ἀποστίχων δὶς, καὶ τὸ Μαρτυρικόν· Δόξα Καὶ νῦν Σταυροθεοτοκίον, *Νῦν ἀπολύεις*, τὸ Τρισάγιον, τὸ *Θεοτόκε Παρθένε* κτλ. καὶ Ἀπόλυσις.

2. Τῇ Τετάρτῃ πρωΐ, μετὰ τὸν Ν΄ ψαλμὸν, ἀντὶ Λιτῆς λέγονται τὰ Ἰδιόμελα τῶν Αἴνων καὶ ἓν Δόξα τῶν Ἁγίων μετὰ τοῦ καταλλήλου Θεοτοκίου· εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῶν Ἁγίων καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ Ἀπολυτίκιον τῶν Ἁγίων δὶς καὶ τὸ Θεοτοκίον· εἶτα τὸ Ψαλτήριον τῆς ἡμέρας, τὰ Καθίσματα τῶν Ἁγίων κατὰ σειρὰν, οἱ Ἀναβαθμοὶ, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου, τὸ Προκείμενον *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου τῶν Ἁγίων, ὁ Ν΄ ψαλμὸς χῦμα, Δόξα *Ταῖς τῶν ἀθλοφόρων*, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου*, ὁ Στίχος *Ἐλέησόν με*

ὁ Θεὸς καὶ τὸ Ἰδιόμελον *Προφητικῶς ἀνεβόα*. Ὁ Κανὼν τῆς Θεοτόκου *Ὑγρὰν διοδεύσας* καὶ ὁ τῶν Ἁγίων· ἀπὸ γ΄ Ὠδῆς τὸ Κάθισμα κτλ. ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τῶν Ἁγίων, καὶ τὸ Μηνολόγιον· Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου*, εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, τὰ Ἐξαποστειλάρια, οἱ Αἶνοι, Δόξα *Ἀθλοφόροι Χριστοῦ*, Καὶ νῦν *Μακαρίζομέν σε*, Δοξολογία Μεγάλη, τὸ Ἀπολυτίκιον τῶν Ἁγίων, καὶ ἀναγινώσκονται αἱ Ὧραι λιταὶ, ἐν αἷς λέγομεν Ἀπολυτίκιον *Τὰς ἀληθόνας τῶν Ἁγίων*, καὶ Κοντάκιον *Πᾶσαν στρατιάν*. Εἰς τὴν Θ΄ Ὥραν ψάλλονται οἱ Μακαρισμοὶ καὶ τὰ λοιπὰ ὡς διετάχθησαν ἐν τῇ μνήμῃ τοῦ ἁγίου Χαραλάμπους ἐν περιπτώσει Η΄ § 14.

3. Εἰς τὸν Ἑσπερινὸν, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὸ Ἰδιόμελον *Νηστεύσαντες ἀδελφοὶ* δὶς, καὶ τὸ Μαρτυρικόν· τὰ γ΄ τῆς σειρᾶς τοῦ Τριῳδίου Προσόμοια, καὶ δ΄ τῶν Ἁγίων. Δόξα *Ἐν Ὠδαῖς ἁσμάτων*, Καὶ νῦν Προσόμοιον Θεοτοκίον, Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν* καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω*, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τῶν Ἁγίων, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων. Κοινωνικὸν *Εἰς μνημόσυνον*, *Εὐλογήσω τὸν Κύριον* καὶ Ἀπόλυσις.

4. Τῇ Τετάρτῃ τῆς Β΄ καὶ Γ΄ ἑβδομάδος, ἐν τῷ Ἑσπερινῷ τῆς Προηγιασμένης τὸ Ἰδιόμελον τῆς ἡμέρας δὶς, τὸ Μαρτυρικὸν ἅπαξ, τὰ γ΄ τῆς σειρᾶς Προσόμοια καὶ δ΄ τῶν Ἁγίων. Δόξα τῶν Ἁγίων, Καὶ νῦν Προσόμοιον Θεοτοκίον κτλ. ὡς ἀνωτέρω.

Ἐν οἱᾳδήποτε ἡμέρᾳ τῆς Α΄ ἑβδομάδος καὶ ἂν τύχῃ ἡ ἑορτὴ, γίνεται κατάλυσις οἴνου καὶ ἐλαίου.

Β΄.

4 (δίς). Εἰ τύχοι τῇ Πέμπτῃ τῆς αὐτῆς ἑβδομάδος, τῇ Τετάρτῃ πρωΐ ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* τὸ Ἰδιόμελον τῆς ἡμέρας δὶς, καὶ τὸ Μαρτυρικὸν, τὰ γ΄ τῆς σειρᾶς τοῦ Τριῳδίου Προσόμοια καὶ δ΄ τῶν Ἁγίων. Δόξα Καὶ νῦν Θεοτοκίον Προσόμοιον. Εἴσοδος μετὰ θυμιατοῦ, *Φῶς ἱλαρὸν* καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω* καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων. Κοινωνικὸν *Γεύσασθε καὶ ἴδετε*, *Εὐλογήσω τὸν Κύριον* καὶ Ἀπόλυσις.

5. Τῇ Πέμπτῃ πρωΐ, ἡ Ἀκολουθία τοῦ Ὄρθρου μέχρι τῆς Δοξολογίας, αἱ Ὧραι καὶ τὰ λοιπὰ ψάλλονται κατὰ τὴν ἐν περιπτώσει Α΄ § 2, 3 διάταξιν. Ἐν δὲ τῷ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν, καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὸ τῶν Ἀποστίχων Ἰδιόμελον *Οἱ ποθοῦντες τοῦ Θείου Πάσχα μετασχεῖν* δίς, τὸ Μαρτυρικὸν, τὰ γ΄ Προσόμοια, καὶ τὰ τῶν Ἁγίων *Φέροντες τὰ παρόντα* δ΄. Δόξα *Ἐν Ὠδαῖς ἁσμάτων*, Καὶ νῦν Προσόμοιον Σταυροθεοτοκίον, Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας· τὸ *Κατευθυνθήτω*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῶν Ἁγίων, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων. Κοινωνικὸν *Εἰς μνημόσυνον*, *Εὐλογήσω τὸν Κύριον* καὶ Ἀπόλυσις.

Τῇ Πέμπτῃ τῆς Β΄ καὶ Γ΄ ἑβδομάδος, τὸ Ἰδιόμελον τῶν Ἀποστίχων τῆς ἡμέρας δίς, τὸ Μαρτυρικὸν ἅπαξ, τὰ γ΄ τῆς σειρᾶς Προσόμοια, καὶ δ΄ τῶν Ἁγίων. Δόξα τῶν Ἁγίων, Καὶ νῦν Προσόμοιον Σταυροθεοτοκίον κτλ. ὡς ἀνωτέρω.

Γ΄.

6. Εἰ τύχοι τῇ Παρασκευῇ τῆς αὐτῆς ἑβδομάδος, τῇ Πέμπτῃ πρωὶ ὁ Ἑσπερινὸς ψάλλεται ὡς προδιετυπώθη ἐν περιπτώσει Α΄ § 1. Τῇ δὲ Παρασκευῇ πρωὶ ὁ Ὄρθρος, μέχρι τῆς Δοξολογίας, καὶ αἱ Ὧραι ψάλλονται ὡς διετάχθησαν ἐν περιπτώσει Α΄ § 2. Ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὸ Ἰδιόμελον *Δεῦτε πιστοὶ* δίς, δ΄ Προσόμοια τῶν Μαρτύρων, καὶ δ΄ τοῦ ἁγίου Θεοδώρου. Δόξα *Ἐν ᾠδαῖς ἁσμάτων*, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ τυχόντος ἤχου. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν* καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας· τὸ *Κατευθυνθήτω*, εἶτα Ἀπόστολος καὶ Εὐαγγέλιον τῶν Ἁγίων, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων. Κοινωνικὸν *Εἰς μνημόσυνον*, *Εὐλογήσω τὸν Κύριον* καὶ Ἀπόλυσις. Τὸ ἑσπέρας ἀναγινώσκονται οἱ Οἶκοι τῆς Θεοτόκου, ὡς εἴθισται, Κοντάκιον *Πίστιν Χριστοῦ*.

Τῇ Παρασκευῇ τῆς Β΄, Γ΄ καὶ Δ΄ ἑβδομάδος, ἡ αὐτή ἐστι τῆς Ἀκολουθίας διάταξις (ἐξαιρουμένων ἐν τῷ Ἑσπερινῷ τῆς Προηγιασμένης τῶν Στιχηρῶν τοῦ ἁγίου Θεοδώρου), ψάλλεται δὲ τὸ Ἰδιόμελον τῆς ἡμέρας δίς, τὰ δ΄ τοῦ ἤχου Μαρτυρικὰ, καὶ δ΄ τῶν Ἁγίων. Δόξα τῶν Ἁγίων, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου κτλ. ὡς ἀνωτέρω.

Δ΄.

7. Εἰ τύχοι τῷ Σαββάτῳ τῆς Α΄ ἑβδομάδος, τῇ Παρασκευῇ πρωὶ ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὸ Ἰδιόμελον *Δεῦτε πιστοὶ* δίς, δ΄ Προσόμοια τῶν Μαρτύρων καὶ δ΄ τοῦ ἁγίου Θεοδώρου, Δόξα *Ὀργάνῳ χρησάμενος*, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ τυχόντος ἤχου, Εἴσοδος μετὰ θυμιατοῦ, *Φῶς ἱλαρὸν* καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω*, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων, Κοινωνικὸν *Γεύσασθε*, *Εὐλογήσω τὸν Κύριον*, καὶ Ἀπόλυσις.

Τὸ ἑσπέρας ἀναγινώσκονται οἱ Οἶκοι τῆς Θεοτόκου, ὡς εἴθισται, Κοντάκιον *Πᾶσαν στρατιάν*.

Τῷ δὲ Σαββάτῳ πρωΐ, ὁ Ὄρθρος μετὰ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου ψάλλονται, ὡς διετάχθησαν ἐν τῇ τοῦ ἁγίου Χαραλάμπους ἑορτῇ, ἐν περιπτώσει ΙΒ΄ § 21. Εἰς τὴν Λειτουργίαν, ὁ Ἀπόστολος τοῦ Τριῳδίου καὶ τὸ Εὐαγγέλιον τῶν Ἁγίων, Κοινωνικὸν *Εἰς μνημόσυνον*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Ε΄.

8. Εἰ τύχοι ἡ μνήμη τῶν Ἁγίων τῇ Α΄, Β΄, Γ΄, Δ΄ καὶ Ε΄ Κυριακῇ τῶν Νηστειῶν, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Ἀναστάσιμα τοῦ τυχόντος ἤχου δ΄, τοῦ Τριῳδίου γ΄ καὶ τῶν Ἁγίων γ΄, Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τῶν Ἁγίων *Προφητικῶς ἀνεβόων*, Καὶ νῦν (ἐν τῇ Β΄, Δ΄ καὶ Ε΄ Κυριακῇ *Ὦ θαύματος καινοῦ*, ἐν δὲ τῇ Α΄ Κυριακῇ καὶ τῇ Γ΄ τὰ τοῦ Τριῳδίου), τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῶν Ἁγίων, τοῦ Τριῳδίου καὶ τὸ Θεοτοκίον (ἐν δὲ τῇ Α΄ καὶ Γ΄ Κυριακῇ, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῶν Μαρτύρων καὶ ἀντὶ Θεοτοκίων τὰ τοῦ Τριῳδίου *Τὴν ἄχραντον εἰκόνα σου*, ἢ τὸ *Σῶσον Κύριε τὸν λαόν σου*), καὶ ἡ Ἀπόλυσις.

9. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδι-

κὸς κανών, εἶτα ἡ Λιτή. Δόξα τῶν Ἁγίων *Ἐν ᾠδαῖς ἁσιάτων*, Καὶ νῦν *Θεοτόκε σὺ εἶ ἡ ἄμπελος* (ἐν τῇ Α΄ Κυριακῇ Καὶ νῦν *Χαίρετε Προφῆται τίμιοι*, ἐν δὲ τῇ Γ΄ Κυριακῇ *Ὁρῶσά σε ἡ κτίσις ἅπασα*) καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῶν Μαρτύρων (ἀντὶ τούτου ἐν τῇ Α΄ Κυριακῇ Ἀπολυτίκιον *Τὴν ἄχραντον εἰκόνα σου*, ἐν δὲ τῇ Γ΄ *Σῶσον Κύριε τὸν λαόν σου*) καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειράν, καὶ τὸ τῆς γ΄ Στιχολογίας τῶν Ἁγίων (ἐν δὲ τῇ Γ΄ Κυριακῇ τὸ τελευταῖον τῶν Ἁγίων, καὶ ἀντὶ Θεοτοκίου, τὸ *Ἐν παραδείσῳ με τὸ πρίν*), εἶτα τὰ Εὐλογητάρια, ἡ Ὑπακοή, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος, ὁ τῶν Ἁγίων καὶ ὁ τοῦ Τριῳδίου (ἐν τῇ Γ΄ Κυριακῇ ὁ τοῦ Τριῳδίου καὶ ὁ τῶν Ἁγίων)· ἀπὸ γ΄ Ὠδῆς, τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, εἶτα τὸ Κάθισμα τοῦ Τριῳδίου, τῶν Ἁγίων καὶ τὸ Θεοτοκίον· ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τὰ τοῦ Τριῳδίου, τὸ Μηνολόγιον τῶν Ἁγίων καὶ τὸ Ὑπόμνημα τῆς Κυριακῆς, αἱ Καταβασίαι τοῦ Τριῳδίου καὶ ἅπασα ἡ ἐν ταῖς Κυριακαῖς τοῦ Τριῳδίου διάταξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τοῦ Τριῳδίου, τῶν Ἁγίων καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, ἐν μὲν τῇ Α΄ καὶ Γ΄ Κυριακῇ Ἀναστάσιμα δ΄, τοῦ Τριῳδίου γ΄ καὶ τῶν Μαρτύρων γ΄, ἐν δὲ τῇ Β΄, μετὰ τὰ Ἀναστάσιμα ἔρχονται τὰ τῶν Μαρτύρων καὶ ἔπονται τὰ τοῦ Ἁγίου μετὰ τῶν ἁρμοδίων Στίχων· καὶ ἐν τῇ Δ΄ καὶ Ε΄ Ἀναστάσιμα έ καὶ τῶν Μαρτύρων γ΄, ὧν οἱ Στίχοι ἐν τοῖς δυσὶ τελευταίοις Τροπαρίοις *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ*, καὶ *Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος*, Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

10. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ τῶν Ἁγίων δ΄ (ἐν δὲ τῇ Α΄ καὶ τῇ Γ΄ Κυριακῇ τὰ Ἀντίφωνα, ὡς εἰσιν ὡρισμένα)· μετὰ τὴν Εἴσοδον, ἐν μὲν τῇ Α΄ καὶ Γ΄ Κυριακῇ τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Τριῳδίου, τῶν Ἁγίων καὶ τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ· ἐν δὲ ταῖς λοιπαῖς Κυριακαῖς, τὸ Ἀναστάσιμον τῶν Ἁγίων, τοῦ Τριῳδίου, καὶ τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ.

Κοντάκιον *Τῇ ὑπερμάχῳ*, Ἀπόστολος τῶν Ἁγίων καὶ Εὐαγγέλιον τῆς Κυριακῆς, καὶ καθεξῆς ἡ Λειτουργία τοῦ Μ. Βασιλείου· Κοινωνικὸν, ἐν τῇ Γ΄ Κυριακῇ, *Ἐσημειώθη ἐφ΄ ἡμᾶς*, ἐν ταῖς λοιπαῖς *Αἰνεῖτε τὸν Κύριον*, *Εἴδομεν τὸ φῶς*· ἐν δὲ τῇ Γ΄ Κυριακῇ *Σῶσον Κύριε*, καὶ Ἀπόλυσις.

ς΄.

11. Εἰ τύχοι ἐν Δευτέρᾳ τῆς Β΄ Γ΄ Δ΄ καὶ Ε΄ ἑβδομάδος, τῇ Κυριακῇ ἑσπέρας, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Στιχηρὰ ς΄, τοῦ Τριῳδίου Προσόμοια γ΄ καὶ γ΄ τῶν Ἁγίων. Δόξα *Τὴν λίμνην ὡς παράδεισον*, Καὶ νῦν Θεοτοκίον *Ἔργοις σκοτεινοῖς*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Μέγα Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὸ Ἰδιόμελον ἀργῶς δίς, καὶ τὸ Μαρτυρικὸν ἅπαξ. Δόξα *Προφητικῶς ἀνεβόα*, Καὶ νῦν *Τὴν πᾶσαν ἐλπίδα μου*, *Νῦν ἀπολύεις*, τὸ Τρισάγιον, τὰ Ἀπολυτίκια *Τὰς ἀληθδόνας τῶν ἁγίων*, *Τοῦ Γαβριὴλ φθεγξαμένου σοι*, καὶ Ἀπόλυσις. Τὸ *Θεοτόκε παρθένε* οὐ ψάλλεται διὰ τὸ τελεῖσθαι αὔριον Προηγιασμένην.

Τῇ Δευτέρᾳ πρωὶ ἡ Ἀκολουθία τοῦ Ὄρθρου, αἱ Ὧραι καὶ ἡ Λειτουργία τῶν Προηγιασμένων, ψάλλονται ὡς διετάχθησαν ἐν τῇ Α΄ περιπτώσει § 2, 3.

Εἰ δὲ τύχοι τῇ Τρίτῃ τῆς Β΄, Γ΄, Δ΄ καὶ Ε΄ ἑβδομάδος, ἐν τῷ Ἑσπερινῷ τῆς Προηγιασμένης, τὸ Ἰδιόμελον τῶν Ἀποστίχων τῆς ἡμέρας δίς, τὸ Μαρτυρικὸν ἅπαξ, τὰ γ΄ τῆς σειρᾶς Προσόμοια καὶ δ΄ τῶν Ἁγίων, Δόξα τῶν Ἁγίων, Καὶ νῦν Προσόμοιον Σταυροθεοτοκίον κτλ. ὡς ἐν περιπτώσει Α΄ § 2, 3.

ζ΄.

12. Εἰ τύχοι τῇ Τετάρτῃ τῆς Δ΄ ἑβδομάδος, τὸ πρωὶ ἡ Ἀκολουθία τοῦ Ὄρθρου ψάλλεται ὡς διετάχθη ἐν περιπτώσει Α΄ § 2, 3, αἱ δὲ Ὧραι ἀναγινώσκονται λιταὶ καὶ λέγομεν ἀντὶ τοῦ *Τὸ πρωὶ εἰσάκουσόν μου* καὶ *Κύριε ὁ τὸ Παράγιόν σου* κτλ, *Τὸν Σταυρόν σου προσκυνοῦμεν Δέσποτα*, Ἀπολυτίκιον *Τὰς ἀληθδόνας τῶν Ἁγίων*, καὶ Κοντάκιον *Οὐκέτι φλογίνη ῥομφαία*. Ἐν δὲ τῷ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ δύο Ἰδιόμελα καὶ τὸ Μαρτυρικὸν, τοῦ Τριῳδίου γ΄ Προσόμοια, καὶ τῶν Ἁγίων δ΄, Δόξα

Τὴν λίμνην ὡς παράδεισον, Καὶ νῦν *Σήμερον ὁ ἀπρόσιτος τῇ οὐσίᾳ*, Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῶν Μαρτύρων, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων, Κοινωνικὸν *Εἰς μνημόσυνον*, *Εὐλογήσω τὸν Κύριον* καὶ Ἀπόλυσις.

Η'.

13. Εἰ τύχοι ἐν Σαββάτῳ τῆς Β', Γ' καὶ Δ' ἑβδομάδος, τῇ Παρασκευῇ πρωὶ εἰς τὸν Ἑσπερινὸν, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὸ Ἰδιόμελον τῆς ἡμέρας δὶς, δ' Μαρτυρικὰ τοῦ τυχόντος ἤχου καὶ δ' τῶν Ἁγίων, *Δόξα Ἐν ὠδαῖς ἁσμάτων*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος μετὰ θυμιατοῦ, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω*, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων, Κοινωνικὸν *Γεύσασθε καὶ ἴδετε*, *Εὐλογήσω τὸν Κύριον*, καὶ Ἀπόλυσις. Τὸ ἑσπέρας ἀναγινώσκονται οἱ Οἶκοι τῆς Θεοτόκου ὡς εἴθισται, Κοντάκιον *Πᾶσαν στρατιάν*.

Τῷ Σαββάτῳ πρωὶ ἡ Ἀκολουθία τοῦ Ὄρθρου μετὰ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου ψάλλονται κατὰ τὴν γνωστὴν διάταξιν· Ἀπόστολος καὶ Εὐαγγέλιον τῶν Ἁγίων· Κοινωνικὸν *Εἰς μνημόσυνον*.

Θ'.

14. Εἰ τύχοι τῇ Τετάρτῃ τῆς Ε' ἑβδομάδος, τὸ πρωὶ ἡ Ἀκολουθία τοῦ Ὄρθρου καὶ τῶν Ὡρῶν ψάλλεται ὡς διετάχθη ἐν περιπτώσει Α' § 2. Ἐν δὲ τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀρχόμεθα ἀπὸ τοῦ Στίχου *Πεσοῦνται ἐν ἀμφιβλήστρῳ αὐτῶν οἱ ἁμαρτωλοὶ*, καὶ ψάλλομεν τὸ Ἰδιόμελον τῆς ἡμέρας δὶς, καὶ τὸ Μαρτυρικὸν, εἶτα τὰ γ' τῆς σειρᾶς τοῦ Τριῳδίου Προσόμοια, καὶ δ' τῶν Ἁγίων *Φέροντες τὰ παρόντα γενναίως*, καὶ ἀκολούθως τὰ κατ' ἀλφάβητον Στιχηρὰ τοῦ Τριῳδίου *Ἅπας ὁ βίος μου*, μέχρι τοῦ Στιχηροῦ *Ὦ τῆς ἀφάτου σου εὐσπλαγχνίας*· Δόξα τῶν Ἁγίων *Τὴν λίμνην ὡς παράδεισον*, Καὶ νῦν *Ἔργοις σκοτεινοῖς συναπαχθείς*. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῶν

Ἁγίων, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων, Κοινωνικὸν *Εἰς μνημόσυνον*, *Εὐλογήσω τὸν Κύριον* καὶ Ἀπόλυσις.

Τὸ ἑσπέρας ψάλλεται ὁ Μ. Κανὼν, ὡς εἴθισται, μετὰ μικροῦ Ἀποδείπνου.

Ι'.

15. Εἰ τύχοι τῇ Πέμπτῃ τοῦ Μεγάλου Κανόνος, τῇ Τετάρτῃ πρωὶ ὁ Ἑσπερινὸς καὶ ἡ Λειτουργία ψάλλονται ὡς ἐν περιπτώσει Θ' § 14· ἀλλὰ Ἀπόστολος καὶ Εὐαγγέλιον, ὡς καὶ τὸ Δοξαστικὸν, οὐ λέγονται, Κοινωνικὸν δὲ τὸ *Γεύσασθε*. Τῇ Πέμπτῃ πρωὶ, μετὰ τὸν Ν' ψαλμὸν, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῶν Ἁγίων καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ Ἀπολυτίκιον τῶν Ἁγίων δὶς, καὶ τὸ Θεοτοκίον· εἶτα τὸ Ψαλτήριον, τὰ Καθίσματα τῶν Ἁγίων μετὰ τῶν Θεοτοκίων αὐτῶν, ὁ Ν' ψαλμὸς χύμα, καὶ ἀναγινώσκεται ἡ α' καὶ γ' Ὠδὴ τοῦ Κανόνος τῶν Ἁγίων, ὡς καὶ τὸ μετὰ τὴν Αἴτησιν Κάθισμα τῶν Ἁγίων καὶ τὸ Θεοτοκίον· εἶτα ἡ δ' Ὠδὴ τοῦ Τριῳδίου καὶ ἡ τῶν Ἁγίων, ἡ ε' καὶ ἡ ς' Ὠδὴ τῶν Ἁγίων καὶ ἡ Αἴτησις, τὸ Κοντάκιον *Ψυχή μου Ψυχή μου* καὶ τὸ Μηνολόγιον τῶν Μαρτύρων, εἶτα ἡ η' καὶ θ' Ὠδὴ τοῦ Τριῳδίου, ὡς καὶ ἡ τῶν Ἁγίων, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου* καὶ μετὰ *Τὴν τιμιωτέραν* τὸ Ἐξαποστειλάριον τῶν Ἁγίων καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, τὰ Προσόμοια *Δεῦτε μαρτυρικὴν ἀδελφοὶ*, Δόξα *Ἀθλοφόροι Χριστοῦ*, Καὶ νῦν *Μακαρίζομέν σε*, Δοξολογία Μεγάλη τὸ Ἀπολυτίκιον τῶν Μαρτύρων, καὶ ἀναγινώσκονται αἱ Ὧραι, ἐν αἷς λέγομεν Ἀπολυτίκιον *Τὰς ἀληθόνας τῶν Ἁγίων*, καὶ Κοντάκιον *Ψυχή μου ψυχή μου*. Εἰς τὴν Θ' Ὥραν ψάλλονται οἱ Μακαρισμοὶ καὶ τὰ λοιπὰ ὡς διετάχθησαν ἐν τῇ τοῦ ἁγίου Χαραλάμπους ἑορτῇ ἐν περιπτώσει Η' § 14 καὶ Ἀπόλυσις.

16. Ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὸ Ἰδιόμελον *Αὐτεξουσίως ἐξεδύθην* δὶς, καὶ τὸ Μαρτυρικὸν, τὰ γ' Προσόμοια τοῦ Τριῳδίου καὶ δ' τῶν Ἁγίων, Δόξα *Ἐν ὠδαῖς ἁσμάτων*, Καὶ νῦν Σταυροθεοτοκίον Προσόμοιον, Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῶν Ἁγίων καὶ καθεξῆς, ἡ Λειτουργία τῶν Προη-

γιασμένων, Κοινωνικὸν *Εἰς μνημόσυνον*, *Εὐλογήσω τὸν Κύριον* καὶ Ἀπόλυσις.

ΙΑ΄.

17. Εἰ τύχοι τῇ Παρασκευῇ τῆς αὐτῆς ἑβδομάδος, τῇ Πέμπτῃ πρωὶ εἰς τὸν Ἑσπερινὸν, μετὰ τὸ Ἰδιόμελον τὸ Μαρτυρικὸν καὶ τὰ γ΄ τῆς σειρᾶς Προσόμοια, καὶ δ΄ τῶν Μαρτύρων, Δόξα καὶ νῦν Προσόμοιον Σταυροθεοτοκίον κτλ. Τῇ Παρασκευῇ πρωὶ, ἡ Ἀκολουθία τοῦ Ὄρθρου μετὰ τῶν Ὡρῶν ψάλλεται ὡς διετάχθη ἐν περιπτώσει Α΄ § 2.

18. Ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* τὸ Ἰδιόμελον *Ὡς ἐξ Ἰερουσαλὴμ* δὶς, δ΄ Προσόμοια τῆς Θεοτόκου *Βουλὴν προαιώνιον*, καὶ δ΄ τῶν Ἁγίων· Δόξα *Τὴν λίμνην ὡς παράδεισον*, Καὶ νῦν *Τὸ ἀπ' αἰῶνος μυστήριον*· Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῶν Ἁγίων, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων. Κοινωνικὸν *Εἰς μνημόσυνον*, *Εὐλογήσω τὸν Κύριον*, καὶ Ἀπόλυσις,

Τὸ ἑσπέρας ψάλλεται ὁ Ἀκάθιστος Ὕμνος μετὰ Μικροῦ Ἀποδείπνου, ὡς εἴθισται. Κοντάκιον *Τῇ ὑπερμάχῳ*.

ΙΒ΄.

19. Εἰ τύχοι τῷ Σαββάτῳ τοῦ Ἀκαθίστου, τῇ Παρασκευῇ πρωὶ ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὸ Ἰδιόμελον *Ὡς ἐξ Ἰερουσαλὴμ* δὶς, δ΄ Προσόμοια τῆς Θεοτόκου *Βουλὴν προαιώνιον*, καὶ δ΄ τῶν Μαρτύρων· Δόξα *Προφητικῶς ἀνεβόα*, Καὶ νῦν *Τὸ ἀπ' αἰῶνος μυστήριον*· Εἴσοδος μετὰ θυμιατοῦ, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω*, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων· Κοινωνικὸν *Γεύσασθε καὶ ἴδετε*, *Εὐλογήσω τὸν Κύριον*, καὶ Ἀπόλυσις.

Τὸ ἑσπέρας ψάλλεται ὁ Ἀκάθιστος Ὕμνος μετὰ μικροῦ Ἀποδείπνου, ὡς εἴθισται· Κοντάκιον *Τῇ ὑπερμάχῳ*.

20. Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, τὸ Τρισάγιον, *Τὸ προσταχθὲν μυστικῶς*, καὶ ὁ Ἑξάψαλμος. Εἰς

τὸ Θεὸς Κύριος, *Τὸ προσταχθὲν μυστικῶς*, *Τὰς ἀληθόρας τῶν Ἁγίων*, καὶ αὖθις *Τὸ προσταχθέν*· εἶτα τὸ Ψαλτήριον, τὰ Καθίσματα τῶν Ἁγίων *Τὸ σεπτὸν στερέωμα* (ζήτει ἀπὸ γ΄ Ὠδῆς), Δόξα Καὶ νῦν *Ὁ μέγας στρατηγός*· εἰς τὴν δ΄ στιχολογίαν, τῶν Ἁγίων *Τῷ Χριστῷ στρατευθέντες*, Δόξα Καὶ νῦν *Ἐνθυμοῦμαι τὴν κρίσιν*, καὶ εὐθὺς ὁ Ν΄ ψαλμὸς χύμα. Κανόνες ὁ τῆς Θεοτόκου *Ἀνοίξω τὸ στόμα μου*, καὶ ὁ τῶν Ἁγίων· ἀπὸ γ΄ Ὠδῆς τὸ Κάθισμα *Ὁ μέγας στρατηγὸς ἅπαξ*· ἀφ' ς΄ τὸ Κοντάκιον *Τῇ ὑπερμάχῳ*, καὶ ὁ Οἶκος *Ἄγγελος πρωτοστάτης*, τὸ Μηνολόγιον τῶν Μαρτύρων καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου*, καὶ στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τῶν Ἁγίων, καὶ τὸ τοῦ Τριῳδίου *Τὸ ἀπ' αἰῶνος σήμερον*. Εἰς τοὺς Αἴνους, τῆς Θεοτόκου Προσόμοια *Κεκρυμμένον μυστήριον* γ΄ καὶ γ΄ τῶν Ἁγίων *Δεῦτε μαρτυρικὴν ἀδελφοί*. Δόξα *Ἀθλοφόροι Χριστοῦ*, Καὶ νῦν *Γλῶσσαν ἦν οὐκ ἔγνω*· Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον *Τὰς ἀληθόρας τῶν Ἁγίων*.

21. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ Τροπάρια ἀνὰ δ΄ ἐκ τῆς γ΄ Ὠδῆς τοῦ Κανόνος τῆς Θεοτόκου, καὶ ἐκ τῆς ς΄ τῶν Ἁγίων. Εἰς τὴν Εἴσοδον, *Δεῦτε προσκυνήσωμεν . . . ὁ ἐν Ἁγίοις θαυμαστὸς*, *Τὸ προσταχθὲν μυστικῶς*, τὸ τῶν Ἁγίων, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Τῇ ὑπερμάχῳ*, Ἀπόστολος τῶν Ἁγίων καὶ Εὐαγγέλιον *Ἀναστᾶσα Μαριάμ*. Εἰς τὸ Ἐξαιρέτως *Ἄπας γηγενὴς*· Κοινωνικὸν *Ποτήριον σωτηρίου*, *Εἴδομεν τὸ φῶς*, καὶ Ἀπόλυσις

Σημειωτέον ὅτι ἡ μνήμη τῶν Μ΄ Μαρτύρων δύναται νὰ συμπέσῃ ἐν τῷ Τριῳδίῳ ἀπὸ τῆς Τετάρτης τῆς Α΄ ἑβδομάδος τῶν Νηστειῶν, μέχρι τῆς Δευτέρας τῶν Βαΐων (Ὅρα τὸν τοῦ Ἑορτοδρομίου Πίνακα).

Τῇ ΚΕ'.—Ὁ Εὐαγγελισμὸς τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας.

ΠΕΡΙΠΤΩΣΕΙΣ.

Α'.

Σημείωσις. Ἐὰν ἡ παραμονὴ τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ τύχῃ ἐν ἡμέρᾳ Τετάρτῃ ἢ Παρασκευῇ ἐν αἷς, ὡς ἔθος, τελεῖται Προηγιασμένη Λειτουργία, ἐν μὲν ταῖς Ἱεραῖς Ἐκκλησίαις τῶν πόλεων οὐ τελεῖται Προηγιασμένη διὰ τὸ μηδὲ ἀγρυπνίαν τελεῖσθαι ἐν ταύταις, ἐξαιρουμένης τῆς Μεγάλης Τρίτης καὶ Μ. Τετάρτης, ἐν αἷς τελεῖται Προηγιασμένη μετὰ μικροῦ Ἑσπερινοῦ. Ἐν ταῖς Ἱεραῖς ὅμως Μοναῖς διὰ τὴν διαφορὰν τοῦ μοναχικοῦ βίου καὶ διὰ τὸ τελεῖσθαι πάντοτε ἐν ταύταις ἀγρυπνίαν, τελεῖται τῇ παραμονῇ Προηγιασμένη μετὰ μικροῦ Ἑσπερινοῦ, τῶν ἀρχαίων κτητορικῶν Τυπικῶν ἀμετακινήτων διαμενόντων.

1. Εἰ τύχοι ὁ Εὐαγγελισμὸς τῇ Παρασκευῇ τῆς Γ' ἑβδομάδος τῶν Νηστειῶν, τῇ Τετάρτῃ πρωῒ ἐν τῷ Ἑσπερινῷ τῆς Προηγιασμένης Λειτουργίας, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλεται τὸ Ἰδιόμελον τῆς ἡμέρας δὶς, καὶ τὸ Μαρτυρικὸν ἅπαξ· τὰ γ' τοῦ Τριῳδίου τῆς σειρᾶς Προστόμοια καὶ δ' Προεόρτια *Κεκρυμμένον μυστήριον*· Δόξα Καὶ νῦν *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω*, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων. Τὸ ἑσπέρας τὸ Μέγα Ἀπόδειπνον ὡς εἴθισται.

2. Τῇ Πέμπτῃ πρωῒ, μετὰ τὸ Μεσονυκτικὸν, τὰ Κατανυκτικὰ Τροπάρια *Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς* καὶ ὁ Ἑξάψαλμος· μετὰ τὴν Συναπτὴν τὸ *Θεὸς Κύριος* μετὰ τῶν Στίχων αὐτοῦ καὶ τὸ προεόρτιον Ἀπολυτίκιον· τὸ Ψαλτήριον τῆς ἡμέρας, τὰ Κατανυκτικὰ τῆς Ὀκτωήχου καὶ τοῦ Τριῳδίου Καθίσματα, ὁ Ν' ψαλμὸς, ἡ Στιχολογία τῶν Θ' Ὠδῶν καὶ ὁ Προεόρτιος κανὼν *Ὁ κόσμος περιχαρῶς εὐφράνθητι* μετὰ τῶν Τριῳδίων τῆς ἡμέρας· ἀπὸ γ' Ὠδῆς τὸ Προεόρτιον Κάθισμα *Σήμερον ἅπασα*, ἀφ' ς' τὸ Κοντάκιον *Ἐπελεύσει Πνεύματος τοῦ Παναγίου* καὶ τὸ Μηνολόγιον τῶν

Ἁγίων τῆς ἡμέρας· μετὰ τοὺς Κανόνας, ὁ Εἱρμὸς τῆς η' Ὠδῆς *Χεῖρας ἐκπετάσας Δανιὴλ* καὶ στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, τὸ προεόρτιον Ἐξαποστειλάριον *Ὡς δῶρα προεόρτια*, καὶ τὸ *Σοὶ δόξα πρέπει*, καὶ μετὰ τὴν Ἐκτενῆ, τὸ Ἰδιόμελον τῶν Ἀποστίχων τῆς ἡμέρας δὶς, καὶ τὸ Μαρτυρικὸν ἅπαξ, Δόξα Καὶ νῦν *Γλῶσσαν ἣν οὐκ ἔγνω*, τὸ *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Σήμερον τῆς παγκοσμίου χαρᾶς τὰ προοίμια*, καὶ ἀναγινώσκονται αἱ Ὧραι λιταὶ, ἐν αἷς λέγομεν Ἀπολυτίκιον καὶ Κοντάκιον τὰ Προεόρτια, καὶ μετὰ τὴν ς' Ὥραν Ἀπόλυσις. Ἡ δὲ Θ' Ὥρα ἀναγινώσκεται τὸ ἑσπέρας πρὸ τοῦ Ἑσπερινοῦ ὡς εἴθισται, καὶ λέγομεν Ἀπολυτίκιον καὶ Κοντάκιον τὰ Προεόρτια.

Ὁ Μέγας Ἑσπερινός.

3. Τῇ Πέμπτῃ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ τρία Στιχηρὰ Προσόμοια *Βουλὴν προαιώνιον* εἰς ἕξ· Δόξα Καὶ νῦν *Ἀπεστάλη ἐξ οὐρανοῦ*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ γ' Ἰδιόμελα *Τῷ ἕκτῳ μηνὶ*, Δόξα Καὶ νῦν *Σήμερον χαρᾶς εὐαγγέλια*, τὸ Ἀπολυτίκιον *Σήμερον τῆς σωτηρίας* ἐκ τρίτου καὶ Ἀπόλυσις.

4. Τῇ Παρασκευῇ εἰς τὸν Ὄρθρον, *Εὐλογητὸς ὁ Θεὸς*, τὸ Τρισάγιον κτλ. ὁ Ν' ψαλμὸς, ἡ Λιτὴ, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ Ἀπολυτίκιον ἐκ τρίτου, τὸ Ψαλτήριον τῆς ἡμέρας καὶ ὁ Πολυέλεος *Ἐξηρεύξατο ἡ καρδία μου*, τὰ Καθίσματα κατὰ σειρὰν (τὸ τελευταῖον ἐκ δευτέρου), οἱ Ἀναβαθμοὶ, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου, τὸ Προκείμενον *Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον *Ἀναστᾶσα Μαριὰμ*, ὁ Ν' ψαλμὸς χύμα, Δόξα *Ταῖς τῆς Θεοτόκου*, Καὶ νῦν τὸ αὐτὸ, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, ὁ Κανὼν εἰς ς' ἄνευ Στίχου· εἰς τὰ τελευταῖα Τροπάρια Δόξα Καὶ νῦν· ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα *Ὁ λόγος τοῦ Θεοῦ* ἅπαξ, ἀφ' ς' τὸ Κοντάκιον *Τῇ ὑπερμάχῳ* καὶ ὁ Οἶκος *Ἄγγελος πρωτοστάτης* καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου*, καὶ ψάλλεται ἡ Θ' Ὠδὴ μετὰ τοῦ Μεγαλυναρίου *Εὐαγγελίζου γῆ χαρὰν μεγά-*

λην . . . Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ· εἶτα τὰ δύο Ἐξαποστειλάρια. Εἰς τοὺς Αἴνους, τὰ γ' Προσόμοια *Τῶν οὐρανίων ἀψίδων* εἰς δ', Δόξα Καὶ νῦν *Τὸ ἀπ' αἰῶνος μυστήριον*, Δοξολογία Μ. καὶ τὸ Ἀπολυτίκιον *Σήμερον τῆς σωτηρίας.*

5. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα.

Ἀντίφωνον Α'.

Ὁ Θεὸς τὸ κρίμα σου τῷ Βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου τῷ Υἱῷ τοῦ Βασιλέως.

Ἀναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην.

Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσει αὐτήν.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου κτλ.

Ἀντίφωνον Β'.

Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν.

Ἡγίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.

Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ οὐ παρασιωπήσεται.

Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνην καὶ πλῆθος εἰρήνης.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ δι' ἡμᾶς σαρκωθεὶς κτλ.

Ἀντίφωνον Γ'.

Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας.

Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος.

Εὐλόγημένον τὸ ὄνομα αὐτοῦ εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Σήμερον τῆς σωτηρίας κτλ.

Τὸ Εἰσοδικὸν *Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν· Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ δι' ἡμᾶς σαρκωθεὶς, ψάλλοντάς σοι Ἀλληλούϊα*, τὸ Ἀπολυτίκιον *Σήμερον τῆς σωτηρίας*, τὸ Κοντάκιον *Τῇ ὑπερμάχῳ*, τὸ Τρισάγιον, ὁ Ἀπόστολος *Ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι*, τὸ Εὐαγγέλιον *Ἐν ταῖς ἡμέραις ἐκείναις συνέλαβεν Ἐλισάβετ*, καὶ καθεξῆς ἡ Λειτουργία τοῦ Χρυσοστόμου. Εἰς τὸ Ἐξαιρέτως *Εὐαγγελίζου γῆ χαρὰν μεγάλην. . . Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ·* Κοινωνικὸν *Ἐξελέξατο Κύριος τὴν Σιών, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Ἡ Ἀπόδοσις.

6. Τῇ αὐτῇ Παρασκευῇ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα*, τὰ γ' τῆς ἑορτῆς Προσόμοια *Βουλὴν προαιώνιον*, καὶ γ' τοῦ Ἀρχαγγέλου Γαβριὴλ (Ὅρα τῇ ΚΣ')· Δόξα Καὶ νῦν *Ἀπεστάλη ἐξ οὐρανοῦ*, Εἴτοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον τῆς ἡμέρας. Εἰς τὰ Ἀπόστιχα, τὰ γ' Ἰδιόμελα *Τῷ ἕκτῳ μηνὶ*, Δόξα Καὶ νῦν *Σήμερον χαρᾶς εὐαγγέλια*, καὶ μετὰ τὸ *Νῦν ἀπολύεις* ψάλλεται τὸ *Τῇ Ὑπερμάχῳ* ἀργῶς καὶ ἀναγινώσκονται οἱ Οἶκοι τῆς Θεοτόκου, ὡς εἴθισται· μετὰ τὸ τέλος τῶν Οἴκων, τὸ *Τῇ ὑπερμάχῳ* αὖθις σύντομον, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἓκ τρίτου καὶ Ἀπόλυσις.

7. Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἐξάψαλμος· εἰς τὸ *Θεὸς Κύριος* τὸ Ἀπολυτίκιον ἓκ γ', τὸ Ψαλτήριον τῆς ἡμέρας, τὰ δύο τῆς α' καὶ β' Στιχολογίας Καθίσματα τῆς ἑορτῆς, ὁ Ν' κάθισμα, καὶ ὁ Κανὼν τῆς ἑορτῆς καὶ ὁ τοῦ Ἀρχαγγέλου· ἀπὸ γ' Ὠδῆς Κάθισμα τοῦ Ἀρχαγγέλου *Ὁ μέγας Γαβριὴλ* καὶ ἕτερον *Τῶν ἀσωμάτων λειτουργῶν, ἀφ' ς'* Κοντάκιον καὶ Οἶκος τῆς ἑορτῆς καὶ τὸ Μηνολόγιον τῆς ἡμέρας· αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου* καὶ μετὰ *Τὴν τιμιωτέραν*, τὰ δύο τῆς ἑορτῆς Ἐξαποστειλάρια. Εἰς τοὺς Αἴνους, τὰ Προσόμοια τῶν Αἴνων τῆς ἑορτῆς, Δόξα Καὶ νῦν *Εὐφραίνέσθωσαν οἱ Οὐρανοί*. Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς.

8. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς· εἰς τὴν Εἴσοδον *Δεῦτε προσκυνήσωμεν . . . ὁ δι' ἡμᾶς σαρκωθεὶς*, τὸ

Ἀπολυτίκιον τῆς ἑορτῆς, τοῦ Ἀρχαγγέλου, τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Τῇ ὑπερμάχῳ*· τὸν Ἀπόστολον (ζήτει Σεπτεμβρίου ϛ΄) καὶ τὸ Εὐαγγέλιον (Νοεμβρίου Η΄). Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*· Κοινωνικὸν *Ὁ ποιῶν τοὺς Ἀγγέλους, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Β΄.

9. Εἰ τύχοι ἡ ἑορτὴ τῷ Σαββάτῳ τῆς Γ΄ ἑβδομάδος, τῇ Πέμπτῃ πρωὶ εἰς τὸν Ἑσπερινὸν, μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ γ΄ τῆς σειρᾶς τοῦ Τριῳδίου Προσόμοια, καὶ γ΄ Προεόρτια *Κεκρυμμένον μυστήριον*, Δόξα Καὶ νῦν *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, τὸ *Φῶς ἱλαρὸν* καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας· τὸ Ἰδιόμελον τῶν Ἀποστίχων δὶς, καὶ τὸ Μαρτυρικὸν ἅπαξ· Δόξα Καὶ νῦν *Γλῶσσαν ἣν οὐκ ἔγνω*, τὸ Τρισάγιον, τὸ *Θεοτόκε Παρθένε*, Κύριε ἐλέησον μ΄, *Τὴν τιμιωτέραν*, τὸ *Ἐπουράνιε*, τὸ *Παναγία Τριὰς*, τὸ *Εἴη τὸ ὄνομα*, τὸ *Εὐλογήσω τὸν Κύριον* καὶ Ἀπόλυσις.

Τὸ ἑσπέρας ἀναγινώσκεται τὸ Μέγα Ἀπόδειπνον, τῇ δὲ Παρασκευῇ πρωὶ ὁ Ὄρθρος τῆς Παραμονῆς καὶ αἱ Ὧραι ψάλλονται ὡς διετάχθησαν ἐν περιπτώσει Α΄ § 2· μετὰ τὴν Εὐχὴν τῆς ϛ΄ Ὥρας Ἀπόλυσις.

10. Τῇ Παρασκευῇ ἑσπέρας, ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ γ΄ τῆς ἑορτῆς Προσόμοια *Βουλὴν προαιώνιον* εἰς ἓξ, Δόξα Καὶ νῦν *Ἀπεστάλη ἐξ Οὐρανοῦ*. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ γ΄ Ἰδιόμελα, Δόξα Καὶ νῦν *Σήμερον χαρᾶς εὐαγγέλια*· μετὰ τὸ *Νῦν ἀπολύεις* ψάλλεται *Τῇ ὑπερμάχῳ* ἀργῶς καὶ ἀναγινώσκεται ἡ γ΄ Στάσις τῶν Οἴκων τῆς Θεοτόκου, ὡς εἴθισται· μετὰ τὸ τέλος τῶν Οἴκων *Τῇ ὑπερμάχῳ* σύντομον, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Σήμερον τῆς σωτηρίας* ἐκ τρίτου, καὶ Ἀπόλυσις.

Τῷ Σαββάτῳ πρωὶ, ἡ Ἀκολουθία τοῦ Ὄρθρου τῆς ἑορτῆς μετὰ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου ψάλλεται ὡς διετάχθη ἐν περιπτώσει Α΄ § 4, 5.

Ἡ Ἀπόδοσις.

11. Τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα*, Ἀναστάσιμα Στιχηρὰ δ΄, τοῦ Σταυροῦ γ΄ καὶ τῆς ἑορτῆς γ΄. Δόξα *Χριστὲ ὁ Θεὸς ἡμῶν*, Καὶ νῦν τῆς ἑορτῆς. Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα *Ὁ συμμαχήσας Κύριε*, Καὶ νῦν *Σήμερον χαρᾶς εὐαγγέλια*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Σταυροῦ, τὸ τῆς ἑορτῆς, καὶ Ἀπόλυσις.

Τὸ πρωὶ τῇ Κυριακῇ, ψάλλεται μόνη ἡ τῆς Σταυροπροσκυνήσεως Ἀκολουθία μετὰ τῆς Ἀναστασίμου, ὡς τέτακται ἐν τῷ Τριῳδίῳ.

Γ΄.

12. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Γ΄ Κυριακῇ τῶν Νηστειῶν, τῇ Παρασκευῇ πρωὶ, ἐν τῷ Ἑσπερινῷ τῆς Προηγιασμένης, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* τὸ Ἰδιόμελον *Ἀσώτου δίκην* δὶς, τὰ δ΄ τοῦ ἤχου Μαρτυρικὰ, καὶ δ΄ Προεόρτια *Κεκρυμμένον μυστήριον*, Δόξα Καὶ νῦν *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω*, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων.

Τὸ ἑσπέρας τὸ μικρὸν Ἀπόδειπνον, καὶ ἀναγινώσκεται ἡ Στάσις τῶν Οἴκων τῆς Θεοτόκου, Κοντάκιον μετὰ τὸ Τρισάγιον *Ἐπελεύσει Πνεύματος τοῦ Παρακλήτου* κτλ.

13. Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον, μετὰ τὸ Μεσονικτικὸν, τὸ Τρισάγιον, τὸ Προεόρτιον Ἀπολυτίκιον καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ Ἀπολυτίκιον δὶς, τὸ Ψαλτήριον τῆς ἡμέρας, τὰ Μαρτυρικὰ τοῦ ἤχου Καθίσματα, ὁ Ν΄ ψαλμὸς καὶ ὁ προεόρτιος Κανὼν *Ὁ κόσμος περιχαρῶς* καὶ τὰ Τριῴδια τῆς ἡμέρας· ἀπὸ γ΄ Ὠδῆς τὸ προεόρτιον Κάθισμα· ἀφ΄ ϛ΄ τὸ Κοντάκιον *Ἐπελεύσει Πνεύματος*, καὶ τὸ Μηνολόγιον τῆς ἡμέρας· ἀφ΄ θ΄ ψάλλεται τῆς η΄ Ὠδῆς ὁ Εἱρμὸς, καὶ μετὰ *Τὴν τιμιωτέραν*, τὸ Ἐξαποστειλάριον *Ὡς δῶρα* προεόρτια δὶς. Εἰς τοὺς Αἴνους, τὰ ἑσπέρια τοῦ μικροῦ Ἑσπερινοῦ *Κατοικτειρήσας τὸ ποίημα ὁ πλάστης*· Δόξα Καὶ νῦν *Τῷ ἔκτῳ*

μηνὶ, Σοὶ δόξα πρέπει, καὶ μετὰ τὴν Ἑκτενῆ τὰ Ἀπόστιχα τοῦ μικροῦ Ἑσπερινοῦ *Ἄρχων τῶν ἄνω δυνάμεων,* Δόξα Καὶ νῦν *Γλῶσσαν ἣν οὐκ ἔγνω,* τὸ *Ἀγαθὸν τὸ Ἐξομολογεῖσθαι,* τὸ Τρισάγιον, καὶ τὸ Ἀπολυτίκιον.

14. Εἰς τὴν Λειτουργίαν, τὰ τῆς ἡμέρας Ἀντίφωνα· εἰς τὴν Εἴσοδον *Δεῦτε προσκυνήσωμεν . . . ὁ ἐν Ἁγίοις θαυμαστὸς,* τὸ προεόρτιον Ἀπολυτίκιον, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ τὸ προεόρτιον Κοντάκιον· Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς ἡμέρας, τὸ *Ἄξιόν ἐστιν,* Κοινωνικὸν τῆς ἡμέρας, *Εἰδομεν τὸ φῶς,* καὶ Ἀπόλυσις.

15. Τῷ αὐτῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ γ′, τοῦ Σταυροῦ γ′ καὶ τὰ τῆς ἑορτῆς *Βουλὴν προαιώνιον* εἰς δ′. Δόξα *Χριστὲ ὁ Θεὸς ἡμῶν,* Καὶ νῦν *Ἀπεστάλη ἐξ Οὐρανοῦ,* Εἴσοδος, *Φῶς ἱλαρὸν,* τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τῆς ἑορτῆς. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα *Ὁ συμμαχήσας Κύριε,* Καὶ νῦν *Σήμερον χαρᾶς εὐαγγέλια,* Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τοῦ Σταυροῦ, τὸ τῆς ἑορτῆς καὶ Ἀπόλυσις.

16. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸ *Εὐλογητὸς ὁ Θεὸς,* τὸ Τρισάγιον, καὶ τὸν Ν′ ψαλμὸν, ψάλλεται ἡ Λιτὴ (καταλιμπανομένου τοῦ Τριαδικοῦ κανόνος), Δόξα ἐκ τοῦ Τριῳδίου, Καὶ νῦν τὸ τῆς ἑορτῆς· εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς, καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον τῆς ἡμέρας, καὶ ὁ Πολυέλεος τῆς ἑορτῆς. Καθίσματα εἰς τὴν α′ καὶ β′ Στιχολογίαν Ἀναστάσιμα δύο καὶ τὸ τῆς ἑορτῆς· εἰς δὲ τὴν γ′ τὸ τοῦ Σταυροῦ καὶ τὰ τῆς ἑορτῆς· ἡ Αἴτησις, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου, καὶ τὸ Προκείμενον τῆς ἑορτῆς *Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας,* τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον *Ἀναστᾶσα Μαριὰμ,* τὸ *Ἀνάστασιν Χριστοῦ* καὶ ὁ Ν′ ψαλμὸς χύμα, Δόξα *Ταῖς τῆς Θεοτόκου,* Καὶ νῦν τὸ αὐτὸ, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Εὐαγγελίζεται ὁ Γαβριήλ.* Κανόνες ὁ τοῦ Τριῳδίου, οὗ πρῶτον ψάλλεται ὁ Εἱρμὸς *Ὁ Θειότατος* δὶς, εἰς τὸ δεύτερον Τροπάριον Στίχον *Δόξα τῇ ἁγίᾳ Ἀναστάσει σου,* εἰς δὲ τὰ λοιπὰ *Δόξα σοι ὁ Θεὸς ἡμῶν* καὶ ὁ τῆς ἑορτῆς· ἀπὸ γ′ Ὠδῆς, μετὰ τὸ Κοντάκιον καὶ τὸν Οἶκον τοῦ Τριῳδίου ψάλλεται τὸ Κάθισμα τοῦ Σταυροῦ καὶ τῆς ἑορτῆς· ἀφ′ ς′ Κοντάκιον καὶ Οἶκος τῆς ἑορτῆς, τὸ Μηνολόγιον καὶ τὸ Ὑπόμνημα τοῦ

Τριῳδίου· αἱ Καταβασίαι *Ὁ Θειότατος προετύπωσε,* εἶτα ψάλλεται ἡ Θ′ τῆς ἑορτῆς *Εὐαγγελίζου γῆ χαράν . . . Ὡς ἐμψύχῳ Θεοῦ,* ἡ Καταβασία *Ὦ Μῆτερ Παρθένε,* Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τὸ τοῦ Σταυροῦ καὶ τὸ τῆς ἑορτῆς· Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ′, τοῦ Σταυροῦ γ′, καὶ τῆς ἑορτῆς γ′, Δόξα Καὶ νῦν *Τὸ ἀπ' αἰῶνος μυστήριον,* Δοξολογία Μ. κατὰ δὲ τὸ Τρισάγιον τῆς Δοξολογίας τελεῖται καὶ ἡ τάξις τῆς Εἰσόδου τοῦ Τιμίου Σταυροῦ, ὡς εἴθισται· μετὰ τὸ Ἰδιόμελον *Δεῦτε πιστοὶ,* λέγεται τὸ *Σήμερον σωτηρία.*

17. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς (Ὅρα ἐν περιπτώσει Α′ § 5)· εἰς τὸ δ′ Ἀντίφωνον *Ὁ δι' ἡμᾶς σαρκωθεὶς,* Εἰσοδικὸν *Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας... Σῶσον ἡμᾶς. . . ὁ ἀναστὰς ἐκ νεκρῶν,* τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Σταυροῦ, τὸ τῆς ἑορτῆς, καὶ Κοντάκιον *Τῇ ὑπερμάχῳ,* ἀντὶ τοῦ Τρισαγίου *Τὸν σταυρόν σου προσκυνοῦμεν,* ὁ Ἀπόστολος τῆς Κυριακῆς καὶ τὸ Εὐαγγέλιον τῆς ἑορτῆς. Εἰς τὸ Ἐξαιρέτως *Εὐαγγελίζου γῆ χαρὰν μεγάλην. . . Ὡς ἐμψύχῳ Θεοῦ,* Κοινωνικὸν *Ἐξελέξατο Κύριος τὴν Σιὼν, Εἰδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Ἡ Ἀπόδοσις.

18. Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ γ′ Προσόμοια *Βουλὴν προαιώνιον,* καὶ γ′ τοῦ Ἀρχαγγέλου *Γαβριὴλ ὁ μέγιστος ὁ νοῦς,* Δόξα Καὶ νῦν *Ἀπεστάλη ἐξ οὐρανοῦ,* Εἴσοδος, *Φῶς ἱλαρὸν,* καὶ τὸ Προκείμενον τῆς ἡμέρας. Εἰς τὰ Ἀπόστιχα, τὰ γ′ Ἰδιόμελα *Τῷ ἕκτῳ μηνὶ,* Δόξα Καὶ νῦν *Σήμερον χαρᾶς εὐαγγέλια,* τὸ Ἀπολυτίκιον *Σήμερον τῆς σωτηρίας* ἐκ τρίτου καὶ Ἀπόλυσις.

Δ′.

19. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Δευτέρᾳ τῆς Δ′ ἑβδομάδος, τῷ Σαββάτῳ ἑσπέρας καὶ τῇ Κυριακῇ τὸ πρωὶ ἡ προεόρτιος Ἀκολουθία καταλιμπάνεται, ψάλλεται δὲ μόνη ἡ τῆς Σταυροπροσκυνήσεως Ἀκολουθία μετὰ τῶν Ἀναστασίμων, ὡς τέτακται ἐν τῷ Τριῳδίῳ.

Τῇ Κυριακῇ ἑσπέρας καὶ τῇ Δευτέρᾳ πρωὶ ἡ τῆς ἑορτῆς Ἀκολουθία ψάλλεται ὡς διετάχθη ἐν περιπτώσει Α′ § 3—5.

Ἡ Ἀπόδοσις τῇ αὐτῇ Δευτέρᾳ ἑσπέρας ψάλλεται ὡς διετάχθη ἐν περιπτώσει Γ΄ § 18.

Ε΄.

20. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Τρίτῃ τῆς Δ΄ Ε΄ καὶ Ϛ΄ ἑβδομάδος, τῇ Κυριακῇ ἐν τῷ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ δ΄ τοῦ ἤχου Κατανυκτικὰ, τοῦ Τριῳδίου Προσόμοια γ΄ καὶ τὰ γ΄ Προέορτια *Κεκρυμμένον μυστήριον*, Δόξα Καὶ νῦν *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Μέγα Προκείμενον, μετὰ τῶν Στίχων αὐτοῦ. Εἰς τὰ Ἀπόστιχα, τὸ Ἰδιόμελον δὶς, καὶ τὸ Μαρτυρικὸν ἅπαξ, Δόξα Καὶ νῦν *Γλῶσσαν ἣν οὐκ ἔγνω, Νῦν ἀπολύεις*, τὸ Τρισάγιον, τὸ *Θεοτόκε Παρθένε*, τὸ *Κύριε ἐλέησον* μ΄. Δόξα Καὶ νῦν *Τὴν τιμιωτέραν τῶν Χερουβὶμ*, τὸ *Ἐπουράνιε Βασιλεῦ*, τὰς Μετανοίας, τὴν Συγχώρησιν, ὡς εἴθισται, καὶ Ἀπόλυσις.

Τῇ Δευτέρᾳ ὁ Ὄρθρος τῆς Παραμονῆς καὶ αἱ Ὧραι ψάλλονται ὡς διετάχθησαν ἐν περιπτώσει Α΄ § 2. Μετὰ τὴν Εὐχὴν τῆς ϛ΄ Ὥρας Ἀπόλυσις.

Τῇ Δευτέρᾳ ἑσπέρας ὁ Μ. Ἑσπερινὸς, καὶ τῇ Τρίτῃ ὁ Ὄρθρος τῆς ἑορτῆς μετὰ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου ψάλλονται ὡς διετάχθησαν ἐν περιπτώσει Α΄ § 3—5.

Ἡ Ἀπόδοσις τῇ αὐτῇ Τρίτῃ ἑσπέρας γίνεται ὡς διετάχθη ἐν περιπτώσει Γ΄ § 18.

Ϛ΄.

21. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Τετάρτῃ ἢ τῇ Πέμπτῃ τῆς Δ΄ καὶ Ϛ΄ ἑβδομάδος, ὁ μὲν προέορτιος Ἑσπερινὸς καὶ ἐν ταῖς δυσὶ ταύταις περιστάσεσι ψάλλεται ὡς διετυπώθη ἐν περιπτώσει Β΄ § 9. Ὁ τῆς Παραμονῆς Ὄρθρος μετὰ τῶν Ὡρῶν, ὡς διετυπώθη ἐν περιπτώσει Α΄ § 2. Ὁ Μ. Ἑσπερινὸς καὶ ὁ Ὄρθρος τῆς ἑορτῆς μετὰ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου, ὡς διετυπώθησαν ἐν περιπτώσει Α΄ § 3, 5, ἡ δὲ Ἀπόδοσις τῇ αὐτῇ ἑσπέρᾳ, ὡς διετάχθη ἐν περιπτώσει Γ΄ § 18.

Ζ΄.

22. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Παρασκευῇ τῆς Δ΄ ἑβδομάδος, τῇ Τετάρτῃ πρωὶ μετὰ τὸν Προοιμιακὸν, καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ δύο Ἰδιόμελα τῆς σειρᾶς τοῦ Τριῳδίου, τὸ

Μαρτυρικὸν καὶ γ΄ Προέορτια *Κεκρυμμένον μυστήριον*, Δόξα καὶ νῦν *Σήμερον ὁ ἀπρόσιτος τῇ οὐσίᾳ*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω*, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων.

Τῇ Πέμπτῃ πρωὶ, ὁ Ὄρθρος τῆς Παραμονῆς καὶ αἱ Ὧραι ψάλλονται ὡς διετάχθησαν ἐν περιπτώσει Α΄ § 2. Μετὰ τὴν Εὐχὴν τῆς ϛ΄ Ὥρας Ἀπόλυσις.

Τῇ Πέμπτῃ ἑσπέρας, ὁ Μ. Ἑσπερινὸς καὶ τὸ πρωὶ τῇ Παρασκευῇ ὁ Ὄρθρος τῆς ἑορτῆς μετὰ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου ψάλλονται, ὡς διετάχθησαν ἐν περιπτώσει Α΄ § 3, 5.

Ἡ ἀπόδοσις τῇ αὐτῇ Παρασκευῇ ἑσπέρας, ὡς διετάχθη ἐν περιπτώσει Α΄ § 6, 7, 8.

Η΄.

23. Εἰ τύχοι ἡ ἑορτὴ τῷ Σαββάτῳ τῆς Δ΄ ἑβδομάδος, τῇ Πέμπτῃ πρωὶ ὁ προέορτιος Ἑσπερινὸς ψάλλεται, ὡς διετάχθη ἐν περιπτώσει Β΄ § 9. Τῇ Παρασκευῇ πρωὶ ὁ Ὄρθρος καὶ αἱ Ὧραι ὡς ἐν περιπτώσει Α΄ § 2. Μετὰ τὴν Εὐχὴν τῆς ϛ΄ Ὥρας Ἀπόλυσις.

Τὸ ἑσπέρας τῆς Παρασκευῆς, ὁ Μ. Ἑσπερινὸς καὶ τῷ Σαββάτῳ ὁ Ὄρθρος τῆς ἑορτῆς μετὰ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου ψάλλονται ὡς διετάχθησαν ἐν περιπτώσει Β΄ § 10.

Ἡ Ἀπόδοσις.

24. Τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* Ἀναστάσιμα δ΄, τῆς ἑορτῆς γ΄, καὶ τοῦ Ἀρχαγγέλου γ΄, Δόξα *Ἀπεστάλη ἐξ οὐρανοῦ*, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν *Εὐφραινέσθωσαν οἱ οὐρανοὶ*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς δὶς, καὶ Ἀπόλυσις.

Ἡ Ἀκολουθία τοῦ ἁγίου Ἰωάννου τῆς Κλίμακος ψάλλεται ἐν τοῖς Ἀποδείπνοις.

25. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*

τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν, τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα καὶ ἀνὰ ἓν τῆς ἑορτῆς, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ τοῦ ἤχου, οἱ Ἀναβαθμοὶ καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τῆς ἑορτῆς· ἀπὸ γ' Ὠδῆς Κάθισμα τοῦ Ἀρχαγγέλου *Ὁ Μέγας στρατηγὸς* καὶ *Τῶν Ἀσωμάτων λειτουργῶν* (Ὥρα τῇ Κς')· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου*, καὶ ἅπασα ἡ ἐν ταῖς Κυριακαῖς τοῦ Τριῳδίου διάταξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, εἶτα μετὰ *Τὴν τιμιωτέραν* Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον καὶ τὰ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ' καὶ τοῦ Ἀρχαγγέλου δ' (ᾧδε ἀποδίδοται ἡ ἑορτὴ), Δόξα τῶν Αἴνων *Δεῦτε ἐργασώμεθα*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. *Σήμερον σωτηρία*, καὶ καθεξῆς ἡ Λειτουργία τοῦ Μ. Βασιλείου, Κοντάκιον *Τῇ Ὑπερμάχῳ*.

Θ'.

26. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Δ' Κυριακῇ τῶν Νηστειῶν, τῇ Παρασκευῇ ἐν τῷ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* τὸ Ἰδιόμελον *Τοῖς πάθεσι δουλώσας* δὶς, τὰ τοῦ ἤχου δ' Μαρτυρικὰ καὶ δ' τὰ Προεόρτια, Δόξα Καὶ νῦν *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω*, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων.

Τὸ ἑσπέρας ἀναγινώσκεται ἡ δ' Στάσις τῶν Οἴκων τῆς Θεοτόκου, ὡς εἴθισται, μετὰ Μικροῦ Ἀποδείπνου, Κοντάκιον μετὰ τὸ Τρισάγιον *Ἐπελεύσει πνεύματος*.

Τῷ Σαββάτῳ ὁ Ὄρθρος τῆς Παραμονῆς καὶ ἡ Λειτουργία, ὡς διετάχθησαν ἐν περιπτώσει Γ' § 13, 14.

27. Τῷ Σαββάτῳ ἐν τῷ Μ. Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ δ' καὶ τῆς ἑορτῆς ς', Δόξα Καὶ νῦν *Ἀπεστάλη ἐξ οὐρανοῦ*, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὰ Ἀναγνώσματα τῆς ἑορτῆς. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν *Σήμερον χαρᾶς εὐαγγέλια*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς δὶς, καὶ Ἀπόλυσις.

28. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸ *Εὐλογητὸς ὁ Θεὸς*

τὸ Τρισάγιον, ὁ Ν' ψαλμὸς (καταλιμπανομένου τοῦ Τριαδικοῦ κανόνος, ψάλλεται ἡ Λιτὴ τῆς ἑορτῆς), εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον τῆς ἡμέρας καὶ ὁ Πολυέλεος τῆς ἑορτῆς. Καθίσματα ἐν μὲν τῇ α καὶ δ' Στιχολογίᾳ ἀνὰ δύο Ἀναστάσιμα καὶ ἀνὰ ἓν τῆς ἑορτῆς, ἐν δὲ τῇ γ' μόνα τὰ τῆς ἑορτῆς, ἡ Αἴτησις, καὶ μετ' αὐτὴν ἡ Ὑπακοὴ τοῦ ἤχου καὶ οἱ Ἀναβαθμοὶ, τὸ Προκείμενον τῆς ἑορτῆς *Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας*, τὸ *Πᾶσα πνοὴ*, καὶ τὸ Εὐαγγέλιον *Ἀναστᾶσα Μαριὰμ*, τὸ *Ἀνάστασιν Χριστοῦ* καὶ ὁ Ν' ψαλμὸς χύμα, Δόξα *Ταῖς τῆς Θεοτόκου*, Καὶ νῦν τὸ αὐτὸ, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τῆς ἑορτῆς· ἀπὸ γ' Ὠδῆς τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, εἶτα τὸ Κάθισμα *Ὁ Λόγος τοῦ Θεοῦ ἄπαξ*· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τῆς ἑορτῆς καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου*, καὶ ἡ θ' τῆς ἑορτῆς· Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, καὶ τὰ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ' καὶ τῆς ἑορτῆς δ', Δόξα Καὶ νῦν *Τὸ ἀπ' αἰῶνος μυστήριον*, Δοξολογία Μεγάλη καὶ *Σήμερον σωτηρία*.

29. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς, τὸ Εἰσοδικὸν *Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας . . . ὁ ἀναστὰς ἐκ νεκρῶν*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς, τὸ Κοντάκιον *Τῇ Ὑπερμάχῳ*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς ἑορτῆς. Εἰς τὸ Ἐξαιρέτως, τὸ *Εὐαγγελίζου γῆ*, Κοινωνικὸν τῆς ἑορτῆς, *Εἶδομεν τὸ φῶς* καὶ Ἀπόλυσις. Ἡ Ἀκολουθία τοῦ Ὁσίου ψάλλεται ἐν τοῖς Ἀποδείπνοις.

Τὸ ἑσπέρας ἀποδίδοται ἡ ἑορτὴ, ὡς προδιετυπώθη ἐν περιπτώσει Γ' § 18.

Ι'.

30. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Δευτέρᾳ τῆς Ε' καὶ ς' ἑβδομάδος, τῷ Σαββάτῳ ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* Ἀναστάσιμα δ', Προεόρτια γ', καὶ τοῦ Τριῳδίου γ', Δόξα *Γλῶσσαν ἣν οὐκ ἔγνω*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα τοῦ Τριῳδίου, Καὶ

νῦν *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Τριῳδίου, τὸ Προεόρτιον, καὶ Ἀπόλυσις.

31. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, τὸ Τρισάγιον, τὸ προεόρτιον Ἀπολυτίκιον, καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Τριῳδίου καὶ τὸ Προεόρτιον, τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα, τὰ Εὐλογητάρια, οἱ Ἀναβαθμοὶ καὶ τὸ Προκείμενον τοῦ ἤχου. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ Προεόρτιος, οὗ ὁ Στίχος *Δόξα σοι, ὁ Θεός*· ἀπὸ γ΄ Ὠδῆς τὸ προεόρτιον Κάθισμα *Σήμερον ἅπασα ἅπαξ*· ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα, τὸ Μηνολόγιον, καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου· αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου*, καὶ ἅπασα ἡ ἐν ταῖς Κυριακαῖς τοῦ Τριῳδίου διάταξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα μετὰ *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον, τὸ τοῦ Τριῳδίου καὶ τὸ Προεόρτιον. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ Προεόρτια *Κατοικτειρήσας τῷ πλάσματι ὁ Πλάστης* δ΄. Δόξα τοῦ Τριῳδίου, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. *Σήμερον σωτηρία*, καὶ καθεξῆς ἡ Λειτουργία τοῦ Μ. Βασιλείου, ἐν ᾗ ψάλλονται τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ, Κοντάκιον *Ἐπελεύσει Πνεύματος*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας καὶ τῇ Δευτέρᾳ πρωΐ, ψάλλεται ἡ Ἀκολουθία τῆς ἑορτῆς μετὰ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου, ὡς διετάχθη ἐν περιπτώσει Α΄ § 3—5.

Τὸ ἑσπέρας ἀποδίδοται ἡ ἑορτὴ, ὡς διετάχθη ἐν περιπτώσει Γ΄ § 18.

ΙΑ΄.

32. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Τετάρτῃ τῆς Ε΄ ἑβδομάδος, τῇ Δευτέρᾳ πρωΐ ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὰ γ΄ τῆς σειρᾶς τοῦ Τριῳδίου Προσόμοια, καὶ τὰ γ΄ Προεόρτια *Κεκρυμμένον μυστήριον*, Δόξα Καὶ νῦν *Εὐαγγελίζεται ὁ Γαβριὴλ, Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας. Εἰς τὰ Ἀπόστιχα, τὰ δύο τοῦ Τριῳδίου Ἰδιόμελα *Ὡς ὁ περιπεσών*, τὸ *Ἀποσφαλέντες ἐκ παραβάσεως*, καὶ τὸ Μαρτυρικόν· εἶτα τὰ κατ΄ ἀλφάβητον Στιχηρὰ *Ἅπας ὁ βίος μου*, ὧν ὁ Στίχος

Δόξα σοι, ὁ Θεὸς ἡμῶν, δόξα σοι, μέχρι τέλους· Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ *Θεοτόκε Παρθένε* μετὰ Μετανοιῶν καὶ Ἀπόλυσις.

Τὸ ἑσπέρας ψάλλεται, μετὰ Ἀποδείπνου μικροῦ, ὁ Μέγας Κανὼν, Κοντάκιον, μετὰ τὸ Τρισάγιον, τὸ *Ψυχή μου, ψυχή μου*, καὶ Ἀπόλυσις.

Τῇ Τρίτῃ πρωΐ, ἡ τῆς Παραμονῆς Ἀκολουθία ψάλλεται ὡς διετυπώθη ἐν περιπτώσει Α΄ § 2. Εἰς τὰ Ἀπόστιχα, τὸ Ἰδιόμελον *Τὴν τετραυματισμένην μου ψυχὴν*, καὶ τὸ Μαρτυρικὸν, Δόξα Καὶ νῦν *Γλῶσσαν ἣν οὐκ ἔγνω*. *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι*, τὸ Τρισάγιον, τὸ Προεόρτιον *Σήμερον τῆς παγκοσμίου*, αἱ Ὧραι λιταὶ, καὶ μετὰ τὴν Εὐχὴν τῆς ς΄ Ὥρας, Ἀπόλυσις.

Τῇ Τρίτῃ ἑσπέρας καὶ τῇ Τετάρτῃ πρωΐ ἡ Ἀκολουθία τῆς ἑορτῆς ψάλλεται μετὰ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου, ὡς διετάχθη ἐν περιπτώσει Α΄ § 3—5.

Ἡ Ἀπόδοσις.

33. Τὸ ἑσπέρας τῆς Τετάρτης, μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ γ΄ τῆς ἑορτῆς Προσόμοια καὶ γ΄ τοῦ Ἀρχαγγέλου· Δόξα Καὶ νῦν *Ἀπεστάλη ἐξ οὐρανοῦ*, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον τῆς ἡμέρας. Εἰς τὰ Ἀπόστιχα, τὰ γ΄ τῆς ἑορτῆς Ἰδιόμελα, Δόξα Καὶ νῦν *Σήμερον χαρᾶς εὐαγγέλια*, τὸ Ἀπολυτίκιον ἐκ τρίτου καὶ Ἀπόλυσις.

34. Τῇ Πέμπτῃ πρωΐ, μετὰ τὸ Μεσονυκτικὸν, τὰ κατανυκτικὰ Τροπάρια *Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς*, καὶ ὁ Ἑξάψαλμος, οἱ Στίχοι *Ἐκ νυκτὸς ὀρθρίζει* κτλ. καὶ τὸ *Ἀλληλούϊα*· μετὰ τὴν τοῦ Ψαλτηρίου α΄ Στιχολογίαν τὰ κατανυκτικὰ τῆς Ὀκτωήχου Καθίσματα, μετὰ τὴν β΄ Στιχολογίαν, τὰ τοῦ Τριῳδίου, εἶτα ὁ Ν΄ ψαλμὸς, ἡ Στιχολογία τῶν θ΄ Ὠδῶν καὶ ἡ α΄ καὶ γ΄ Ὠδὴ τοῦ Κανόνος τοῦ Ἀρχαγγέλου, ὁ Εἱρμὸς, ἡ Αἴτησις καὶ τὰ Καθίσματα τῆς γ΄ Ὠδῆς τοῦ Ἀρχαγγέλου, εἶτα ἡ δ΄ Ὠδὴ μετὰ τοῦ Τριῳδίου καὶ ἡ ε΄ καὶ ς΄ Ὠδὴ τοῦ Ἀρχαγγέλου· ἀφ΄ ς΄ ὁ Εἱρμὸς, ἡ Αἴτησις, τὸ Κοντάκιον *Ψυχή μου, Ψυχή μου*, τὸ Μηνολόγιον καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου. Εἶτα ἀντὶ τῆς ζ΄ Ὠδῆς οἱ ἐν τῷ Τριῳδίῳ Μακαρισμοὶ μετὰ Στίχου *Ἐλέησόν με ὁ Θεὸς, ἐλέησόν με*· ἡ η΄ καὶ θ΄ Ὠδὴ τοῦ Ἀρχαγγέλου καὶ τὰ Τριῴδια τῆς η΄ Ὠδῆς καὶ τῆς θ΄. Εἶτα

Αἰνοῦμεν εὐλογοῦμεν καὶ ὁ Εἱρμὸς *Ὅτ στρατιαί·* μετὰ *Τὴν τιμιωτέραν*, τὸ *Ἀσπόρου συλλήψεως*, τὸ *Ἄξιόν ἐστιν*, τὸ Φωταγωγικόν, τὸ *Σοὶ δόξα πρέπει* καὶ μετὰ τὴν Ἐκτενῆ, τὸ Ἰδιόμελον τῶν Ἀποστίχων *Ταῖς λῃστρικαῖς ἐφόδοις δὶς*, καὶ τὸ Μαρτυρικόν· Δόξα Καὶ νῦν *Εὐφραινέσθωσαν οἱ οὐρανοὶ*, *Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ*, τὸ Τρισάγιον, *Ἐν τῷ Ναῷ ἑστῶτες*, τὸ Κύριε ἐλέησον μ΄, *Ὁ ὢν εὐλογητὸς*, τὸ *Ἐπουράνιε Βασιλεῦ*, τὰς τρεῖς Μετανοίας· καὶ ἀναγινώσκονται αἱ Ὧραι λιταὶ, Ἀπολυτίκιον *Τῶν Οὐρανίων στρατιῶν* καὶ Κοντάκιον *Ψυχή μου, ψυχή μου·* μετὰ τὴν Θ΄ οἱ Μακαρισμοὶ, καὶ ἄρχεται ὁ Ἑσπερινός.

35. Εἰς τὸν Ἑσπερινὸν μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* τὸ Ἰδιόμελον *Αὐτεξουσίως ἐξεδύθην* δὶς, καὶ τὸ Μαρτυρικὸν ἅπαξ, καὶ γ΄ Προσόμοια τοῦ Ἀρχαγγέλου. Δόξα Καὶ νῦν *Τῷ ἕκτῳ μηνὶ*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὰ δύο Ἀναγνώσματα τοῦ Τριῳδίου, καὶ τὸ ἐν τῷ Μηναίῳ *Κύριος ἔκτισέ με*, τὸ *Κατευθυνθήτω*, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων. Κοινωνικὸν *Γεύσασθε*.

Σημ. Τῷ ϛωπα΄, ἐπὶ τῆς Πατριαρχείας Ἰωακεὶμ τοῦ Γ΄, συνέπεσεν ἡ ἑορτὴ τοῦ Εὐαγγελισμοῦ τῇ Τετάρτῃ τῆς Ε΄ ἑβδομάδος καὶ ἐψάλη ὁ Μέγας Κανὼν κατ᾽ ἀπόφασιν Συνοδικὴν οὕτω· τὸ ἑσπέρας τῆς Τετάρτης, μετὰ τὴν τελείαν Ἀπόλυσιν τοῦ Ἑσπερινοῦ τῆς Ἀποδόσεως τῆς ἑορτῆς, εὐθὺς *Εὐλογητὸς ὁ Θεὸς*, τὸ μικρὸν Ἀπόδειπνον· μετὰ τὸ *Δόξα ἐν ὑψίστοις* ἐψάλη ὁ Κανὼν, μετὰ τὴν Θ΄ Ὠδὴν ὁ Εἱρμὸς *Ἀσπόρου συλλήψεως*, τὸ Τρισάγιον, τὸ Κοντάκιον *Ψυχή μου, ψυχή μου*, τὸ Κύριε ἐλέησον μ΄, *Ὁ ἐν παντὶ καιρῷ*, τὸ *Ἄσπιλε ἀμόλυντε* κτλ. καὶ Ἀπόλυσις. Τῷ πρωὶ τῇ Πέμπτῃ ὁ Ὄρθρος καὶ ἡ Προηγιασμένη Λειτουργία ἐψάλησαν ὡς ἀνωτέρω § 34, 35.

ΙΒ΄.

36. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Πέμπτῃ τοῦ Μεγάλου Κανόνος, τῇ Τρίτῃ πρωὶ ἐν τῷ Ἑσπερινῷ, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ τῆς σειρᾶς τοῦ Τριῳδίου γ΄ Προσόμοια, καὶ τὰ γ΄ Προεόρτια. Δόξα Καὶ νῦν *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, *Φῶς ἱλαρὸν* καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὰ δύο Ἰδιόμελα τῶν Ἀποστίχων, τὸ Μαρτυρικὸν καὶ τὰ κατ᾽ ἀλφάβητον Στιχηρὰ *Ἅπας ὁ βίος μου*, ὁ Στίχος *Δόξα*

σοι ὁ Θεὸς, εἶτα τὸ Τρισάγιον, *Θεοτόκε Παρθένε*, Κύριε ἐλέησον μ΄, *Ἐπουράνιε Βασιλεῦ*, τὰς γ΄ Μετανοίας, τὴν εὐχὴν *Παναγία Τριὰς*, τὸ *Εὐλογήσω τὸν Κύριον*, καὶ Ἀπόλυσις.

Τὸ ἑσπέρας τῆς αὐτῆς ἡμέρας, ψάλλεται μετ᾽ Ἀποδείπνου μικροῦ ὁ Μέγας Κανὼν, ὡς εἴθισται· μετὰ τὸ Τρισάγιον, τὸ Κοντάκιον *Ψυχή μου, ψυχή μου* κτλ. καὶ Ἀπόλυσις.

Τῇ Τετάρτῃ πρωὶ, ἡ Ἀκολουθία τοῦ Ὄρθρου τῆς Παραμονῆς καὶ αἱ Ὧραι, ψάλλονται ὡς διετάχθησαν ἐν περιπτώσει Α΄ § 2· μετὰ δὲ τὴν εὐχὴν τῆς ϛ΄ Ὥρας Ἀπόλυσις.

Τῇ αὐτῇ Τετάρτῃ ἑσπέρας καὶ τῇ Πέμπτῃ πρωὶ, ἡ τῆς ἑορτῆς Ἀκολουθία ψάλλεται ὡς διετυπώθη ἐν περιπτώσει Α΄ § 3—5.

Τὸ ἑσπέρας ἀποδίδοται ἡ ἑορτὴ, ὡς διετάχθη ἐν περιπτώσει Γ΄ § 18.

ΙΓ΄.

37. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Παρασκευῇ τῆς Ε΄ ἑβδομάδος, τῇ Τετάρτῃ πρωὶ ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* ἱστῶμεν Στίχους ιϛ΄ ἀρχόμενοι ἀπὸ τοῦ Στίχου *Ἐν ὁδῷ ταύτῃ ᾗ ἐπορευόμην*, καὶ ψάλλομεν τὸ Ἰδιόμελον *Τοῖς τῶν ἐμῶν λογισμῶν* δὶς, καὶ τὸ Μαρτυρικὸν ἅπαξ, εἶτα ἐκ τῶν κατ᾽ ἀλφάβητον Στιχηρῶν *Ἅπας ὁ βίος μου* ι΄ καὶ γ΄ Προεόρτια· Δόξα Καὶ νῦν *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὰ Ἀναγνώσματα τοῦ Τριῳδίου, τὸ *Κατευθυνθήτω*, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων.

Τὸ ἑσπέρας ψάλλεται, μετ᾽ Ἀποδείπνου μικροῦ, ὁ Μέγας Κανὼν, ὡς εἴθισται, Κοντάκιον, μετὰ τὸ Τρισάγιον, *Ψυχή μου, ψυχή μου* κτλ.

38. Τῇ Πέμπτῃ πρωὶ, μετὰ τὸ Μεσονυκτικὸν ὁ Ἑξάψαλμος, τὸ *Ἀλληλούϊα* μετὰ τῶν Στίχων *Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου*, τὸ Ψαλτήριον, τὰ κατανυκτικὰ Καθίσματα τῆς Ὀκτωήχου, καὶ τὰ τοῦ Τριῳδίου, ὁ Ν΄ ψαλμὸς, ἡ Στιχολογία τῶν Θ΄ Ὠδῶν καὶ ὁ προεόρτιος Κανὼν ὁ *Κόσμος περιχαρῶς*, ἡ α΄ καὶ γ΄ Ὠδὴ, ἡ Αἴτησις καὶ τὸ προεόρτιον Κάθισμα τῆς γ΄ Ὠδῆς *Σήμερον ἅπασα*, ἡ δ΄ Ὠδὴ τοῦ Τριῳδίου μετὰ τὴν δ΄ τοῦ Προεορτίου, καὶ ἡ ε΄ καὶ ϛ΄ τοῦ αὐτοῦ· ὁ Εἱρμὸς, ἡ Αἴτησις, τὸ Κοντάκιον *Ἐπελεύσει Πνεύματος* καὶ τὸ Μηνολόγιον· εἶτα οἱ ἐν τῷ Τριῳδίῳ Μακαρισμοὶ

καὶ τοῦ προεορτίου Κανόνος ἡ ζ' Ὠδὴ, ὡς καὶ ἡ η' καὶ θ' καὶ αἱ τοῦ Τριῳδίου η' καὶ θ', *Αἰνοῦμεν εὐλογοῦμεν*, ὁ Εἱρμὸς τῆς η' Ὠδῆς τοῦ Τριῳδίου, καὶ μετὰ *Τὴν τιμιωτέραν*, τὸ Ἐξαποστειλάριον *Ὡς δῶρα προεόρτια*, τὸ *Σοὶ δόξα πρέπει* μετὰ τὴν Ἐκτενῆ, τὸ Ἰδιόμελον *Ταῖς λῃστρικαῖς ἐφόδοις* δίς, καὶ τὸ Μαρτυρικὸν ἄπαξ. Δόξα Καὶ νῦν *Γλῶσσαν ἣν οὐκ ἔγνω*, τὸ *Ἀγαθὸν τὸ Ἐξομολογεῖσθαι*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Σήμερον τῆς παγκοσμίου*, τὸ Κύριε ἐλέησον μ'. *Ὃν εὐλογητὸς*, ἡ εὐχὴ *Ἐπουράνιε Βασιλεῦ* καὶ αἱ Ὧραι λιταὶ, λεγομένων ἐν ἑκάστῃ Ἀπολυτικίου καὶ Κοντακίου Προεορτίων· μετὰ τὴν εὐχὴν τῆς ς' Ὥρας, Ἀπόλυσις.

Τῇ αὐτῇ Πέμπτῃ ἑσπέρας, ὁ Μέγας Ἑσπερινὸς καὶ τὸ πρωῒ ὁ Ὄρθρος τῆς ἑορτῆς μετὰ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου ψάλλονται ὡς διετάχθησαν ἐν περιπτώσει Α' § 3—5.

Ἡ Ἀπόδοσις

39. Τῇ Παρασκευῇ ἑσπέρας ἀποδίδοται ἡ ἑορτὴ, ὡς διετάχθη ἐν περιπτώσει Γ' § 18. Μετὰ τὸ *Νῦν ἀπολύεις* ψάλλεται *Τὸ προσταχθὲν μυστικῶς* ἀργῶς δίς, καὶ τὸ γ' σύντομον καὶ ἀναγινώσκεται ἡ α' Στάσις τῶν Οἴκων, εἶτα ψάλλεται ὁ Κανὼν *Ἀνοίξω τὸ στόμα μου* εἰς ς'· ἀπὸ γ' Ὠδῆς ψάλλεται τὸ *Τῇ ὑπερμάχῳ* ἀργῶς καὶ ἀναγινώσκεται ἡ β' Στάσις, ἔπειτα ἄρχεται ὁ β' Χορὸς τὴν δ' τοῦ Κανόνος Ὠδήν· μετὰ τὴν ς' Ὠδὴν, τὸ *Τῇ ὑπερμάχῳ* σύντομον καὶ ἀναγινώσκεται ἡ γ' τῶν Οἴκων Στάσις, ἀκολούθως ψάλλεται ἡ ζ', η' καὶ θ' τοῦ Κανόνος Ὠδή· ἀπὸ δὲ τῆς θ' ὁ α' Χορὸς *Τῇ ὑπερμάχῳ* σύντομον καὶ ἀναγινώσκεται ἡ δ' Στάσις. *Τῇ ὑπερμάχῳ* αὖθις σύντομον, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Σήμερον τῆς σωτηρίας* ἐκ τρίτου καὶ Ἀπόλυσις.

40. Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον, μετὰ τὸ Μεσονυκτικὸν, *Τὸ προσταχθὲν μυστικῶς* καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὸ Τροπάριον *Τὸ προσταχθὲν* δὶς καὶ τὸ Ψαλτήριον, τὸ ἀπὸ γ' Ὠδῆς Κάθισμα *Ὁ μέγας Γαβριὴλ* καὶ ἕτερον *Τῶν Ἀσωμάτων λειτουργῶν*, ὁ Ν' ψαλμὸς, ὁ Κανὼν *Ἀνοίξω τὸ στόμα μου* καὶ ὁ τοῦ Ἀρχαγγέλου· ἀπὸ γ' Ὠδῆς τὸ Κάθισμα *Ὁ μέγας στρατηγὸς* (ζήτει εἰς τὴν ἑορτήν)· ἐν τῇ ς' Ὠδῇ λέγονται καὶ τὰ Μαρτυρικὰ Τριῴδια ὡς καὶ ἐν τῇ ζ', η' καὶ θ'· ἀφ' ς' τὸ Κοντάκιον *Τῇ ὑπερμάχῳ* καὶ ὁ

Οἶκος *Ἄγγελος πρωτοστάτης*, τὸ Μηνολόγιον τῆς ἡμέρας καὶ τὸ Ὑπόμνημα τῆς Ἀκαθίστου· αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου* καὶ στιχολογοῦμεν *Τὴν τιμιωτέραν*· Καταβασία *Ἅπας γηγενὴς*, Ἐξαποστειλάριον *Τὸ ἀπ' αἰῶνος σήμερον* δίς. Εἰς τοὺς Αἴνους, τὰ Προσόμοια *Κεκρυμμένον μυστήριον* εἰς δ'. Δόξα Καὶ νῦν *Γλῶσσαν ἣν οὐκ ἔγνω*, Δοξολογία Μεγάλη καὶ *Τὸ προσταχθὲν μυστικῶς*.

41. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ, Τροπάρια ἐκ τῆς γ' καὶ ς' Ὠδῆς τοῦ Κανόνος τῆς Θεοτόκου. Μετὰ τὴν Εἴσοδον *Δεῦτε προσκυνήσωμεν. . .* ὁ ἐν *Ἁγίοις θαυμαστὸς*, *Τὸ προσταχθὲν*, τὸ *Τῇ ὑπερμάχῳ*, Ἀπόστολος *Εἶχεν ἡ πρώτη σκηνὴ*, καὶ Εὐαγγέλιον *Ἀναστᾶσα Μαριάμ*. Εἰς τὸ Ἐξαιρέτως *Ἅπας γηγενὴς*, Κοινωνικὸν *Ποτήριον*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Σημ. Ἡ ἀνωτέρω τυπικὴ διάταξις τῆς Ἀκολουθίας τῆς ἑορτῆς, διετάχθη ἐν ἔτει ,αωλϐ' (ἐπὶ τῆς Πατριαρχείας Κωνσταντίου τοῦ Α'), καθ' ὃ συνέπεσεν ἡ ἑορτὴ τοῦ Εὐαγγελισμοῦ τῇ Παρασκευῇ τῆς Ε' ἑβδομάδος, καὶ ἔκτοτε ἐκανονίσθη οὕτω.

ΙΔ'.

42. Εἰ τύχοι ἡ ἑορτὴ τῷ Σαββάτῳ τῆς Ἀκαθίστου, τῇ Πέμπτῃ πρωῒ ἐν τῷ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* τὸ Ἰδιόμελον *Αὐτεξουσίως ἐξεδύθην* δὶς, καὶ τὸ Μαρτυρικὸν ἄπαξ, τὰ τῆς σειρᾶς τοῦ Τριῳδίου γ' Προσόμοια καὶ τὰ δ' Προεόρτια, Δόξα Καὶ νῦν *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω*, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων.

Τῇ Παρασκευῇ πρωῒ, ὁ Ὄρθρος καὶ αἱ Ὧραι ἀναγινώσκονται ὡς διετάχθησαν ἐν περιπτώσει Α' § 2. Μετὰ τὴν Εὐχὴν τῆς ς' Ὥρας Ἀπόλυσις.

Τῇ αὐτῇ Παρασκευῇ ἑσπέρας, ὁ Μ. Ἑσπερινὸς ψάλλεται ὡς διετάχθη ἐν περιπτώσει Α' § 3[1].

---

1. Ἐν τῷ Τυπικῷ τοῦ Κωνσταντίνου φέρεται ἡ ἐνταῦθα ἐν § 43 διάταξις, καθ' ἣν οἱ Οἶκοι ἀναγινώσκονται τὸ πρωΐ· ἀλλ' ἐπειδὴ ἡ

43. Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον, *Εὐλογητὸς ὁ Θεὸς*, τὸ Τρισάγιον, ὁ Ν΄ ψαλμὸς καὶ ψάλλεται ἡ Λιτὴ, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ Ἀπολυτίκιον ἐκ τρίτου, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ Καθίσματα κατὰ σειρὰν, τὸ α΄ καὶ τὸ τελευταῖον ἐκ δευτέρου, οἱ Ἀναβαθμοὶ, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου, τὸ Προκείμενον *Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον *Ἀναστᾶσα Μαριὰμ*, ὁ Ν΄ χῦμα, Δόξα *Ταῖς τῆς Θεοτόκου*, Καὶ νῦν τὸ αὐτὸ, Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, τὸ *Σῶσον ὁ Θεὸς τὸν λαόν σου*, καὶ μετὰ τὸ *Ἐλέει καὶ οἰκτιρμοῖς*, ψάλλεται ἀργῶς, τὸ *Τῇ ὑπερμάχῳ*, καὶ ἀναγινώσκεται ἡ α΄ Στάσις τῶν Οἴκων· μετὰ τὸ τέλος, αὖθις τὸ *Τῇ ὑπερμάχῳ* ἀργοσύντομον, καὶ ἀναγινώσκεται ἡ β΄ Στάσις, εἶτα ὁ Κανὼν τῆς ἑορτῆς εἰς ἕξ, μετὰ τὴν γ΄ Ὠδὴν *Τῇ ὑπερμάχῳ*, καὶ ἀναγινώσκεται ἡ γ΄ Στάσις, εἰς τὸ τέλος ἡ Αἴτησις καὶ ψάλλεται τὸ Κάθισμα *Ὁ Λόγος τοῦ Θεοῦ* καὶ τὸ *Ἀπεστάλη Γαβριὴλ*, εἶτα ἡ δ΄, ε΄ καὶ ς΄ Ὠδὴ τοῦ Κανόνος καὶ μετὰ τὴν Καταβασίαν τῆς ς΄ *Ἐβόησε προτυπῶν*, *Τῇ ὑπερμάχῳ*, καὶ ἀναγινώσκεται ἡ δ΄ τῶν Οἴκων Στάσις, ἡ Αἴτησις, τὸ Κοντάκιον, ὁ Οἶκος, τὸ Μηνολόγιον καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου, εἶτα ἡ ζ΄ καὶ η΄ Ὠδὴ τοῦ Κανόνος, καὶ μετὰ τὴν Καταβασίαν τῆς η΄ Ὠδῆς *Ἄκουε Κόρη*, *Τὴν Θεοτόκον* καὶ ψάλλεται ἡ θ΄ Ὠδὴ *Εὐαγγελίζου γῆ χαρὰν μεγάλην . . . Ὡς ἐμψύχῳ Θεοῦ*, εἶτα τὰ δύο Ἐξαποστειλάρια. Εἰς τοὺς Αἴνους, τὰ Προτόμοια *Τῶν οὐρανίων ἀψίδων* εἰς δ΄. Δόξα Καὶ νῦν *Τὸ ἀπ' αἰῶνος μυστήριον*, Δοξολογία Μ. τὸ Ἀπολυτίκιον, καὶ καθεξῆς ἡ Λειτουργία τοῦ Χρυσοστόμου, ὡς διετυπώθη ἐν περιπτώσει Α΄ § 5.

Ἀκολουθία οὕτως ἀποβαίνει ἀρκούντως διεξοδική, καὶ ἀφ' ἑτέρου ὁ λαὸς οὐκ ἔρχεται ἀπὸ πρωΐας εἰς τὴν Ἐκκλησίαν, καὶ μάλιστα αἱ γυναῖκες, διὰ τοῦτο ἔδοξεν ἡμῖν πρὸς εὐκολίαν τοῦ λαοῦ ἵνα ἡ Ἀκολουθία τῶν Οἴκων γίνηται ἀφ' ἑσπέρας τοῦ Σαββάτου εὐθὺς μετὰ τὸ **Νῦν ἀπολύεις** *ἄνευ Ἀποδείπνου, ἀρχῆς γινομένης ἀπὸ τοῦ* **Τὸ προσταχθὲν** *μυστικῶς κτλ. ὡς εἴθισται πάντοτε. Μετὰ τὸ τελευταῖον* **Τῇ ὑπερμάχῳ** *τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς ἐκ τρίτου καὶ Ἀπόλυσις. Τὸ δὲ πρωῒ ὁ Ὄρθρος καὶ ἡ Λειτουργία τῆς ἑορτῆς ψάλλονται ὡς ἐν περιπτώσει Α΄ § 4, 5.*

Ἡ Ἀπόδοσις.

44. Τῷ Σαββάτῳ ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸ Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ δ΄, τῆς ἑορτῆς γ΄ καὶ τοῦ Ἀρχαγγέλου γ΄· Δόξα *Ἀπεστάλη ἐξ οὐρανοῦ*, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν *Εὐφραινέσθωσαν οἱ οὐρανοὶ*, Ἀπολυτίκια, τὸ Ἀναστάσιμον, τὸ τῆς ἑορτῆς δὶς, καὶ Ἀπόλυσις. Ἡ Ἀκολουθία τῆς Ὁσίας ψάλλεται ἐν τοῖς Ἀποδείπνοις.

45. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Ἀμωμος· τὰ ἀναστάσιμα Καθίσματα καὶ ἀνὰ ἓν τῆς ἑορτῆς, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τῆς ἑορτῆς· ἀπὸ γ΄ Ὠδῆς Κάθισμα *Τῶν ἀσωμάτων λειτουργῶν* (ζήτει τῇ ΚΣ΄)· ἀφ' ς΄ Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα, τὸ Μηνολόγιον τῆς ἡμέρας καὶ τὸ τοῦ Τριῳδίου, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου* καὶ ἅπασα ἡ ἐν ταῖς Κυριακαῖς τοῦ Τριῳδίου διάταξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον καὶ τὰ δύο τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ τοῦ Ἀρχαγγέλου δ΄ (ἐνταῦθα ἀποδίδοται ἡ ἑορτή). Δόξα *Οὐκ ἔστιν ἡ βασιλεία τοῦ Θεοῦ*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μ. *Σήμερον σωτηρία*, καὶ καθεξῆς ἡ Λειτουργία τοῦ Μ. Βασιλείου, ψαλλομένων τῶν Τυπικῶν καὶ τῶν Μακαρισμῶν ὡς εἴθισται.

ΙΕ΄.

46. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Ε΄ Κυριακῇ τῶν Νηστειῶν, τῇ Παρασκευῇ πρωῒ ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* τὸ Ἰδιόμελον *Ὡς ἐξ Ἱερουσαλὴμ* δὶς, τὸ Μαρτυρικὸν ἅπαξ, καὶ τὰ *Βουλὴν προαιώνιον* ἀνὰ μίαν· Δόξα Καὶ νῦν *Τὸ ἀπ' αἰῶνος μυστήριον*, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω*, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων.

Τὸ ἑσπέρας ψάλλεται, μετὰ μικροῦ Ἀποδείπνου, ὁ Ἀκάθιστος Ὕμνος, ὡς εἴθισται.

47. Τῷ Σαββάτῳ, μετὰ τὸ *Εὐλογητὸς ὁ Θεὸς*, τὸ Τρισάγιον κτλ. ὁ Ν΄ ψαλμὸς, *Τὸ προσταχθὲν μυστικῶς* καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, *Τὸ προσταχθὲν* δὶς, καὶ τὸ Προεόρτιον, τὸ Ψαλτήριον τῆς ἡμέρας, τὸ ἀπὸ γ΄ Ὠδῆς τοῦ Τριῳδίου Κάθισμα *Ὁ μέγας στρατηγὸς* δὶς, ὁ Ν΄ ψαλμὸς γ΄, ὁ Κανὼν τῆς Ἀκαθίστου *Ἀνοίξω τὸ στόμα μου*, καὶ ὁ Προεόρτιος *Ὁ κόσμος περιχαρῶς εὐφράνθητι*, οὗ ὁ Στίχος *Δόξα σοι ὁ Θεός*· ἀπὸ γ΄ Ὠδῆς τὸ προεόρτιον Κοντάκιον χ΄, εἶτα τὸ Κάθισμα *Σήμερον ἅπασα* (Εἰς τὴν ς΄ Ὠδὴν, ὡς καὶ τὴν ζ΄, η΄ καὶ θ΄ συμψάλλωνται καὶ τὰ Τριῴδια τῶν Μαρτύρων)· ἀφ΄ς΄ τὸ Κοντάκιον *Τῇ ὑπερμάχῳ*, καὶ ὁ Οἶκος *Ἄγγελος πρωτοστάτης*, τὸ Μηνολόγιον, καὶ τὸ Ὑπόμνημα τῆς Ἀκαθίστου, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου*, καὶ στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια *Τὸ ἀπ΄ αἰῶνος σήμερον*, καὶ τὸ προεόρτιον *Ὡς δῶρα προεόρτια*. Εἰς τοὺς Αἴνους, τὰ Προσόμοια *Κεκρυμμένον μυστήριον*. Δόξα Καὶ νῦν *Γλῶσσαν ἣν οὐκ ἔγνω*, Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον *Σήμερον τῆς παγκοσμίου*.

48. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ μετὰ τῶν Τροπαρίων ἐκ τῆς γ΄ καὶ ς΄ Ὠδῆς τοῦ προεορτίου Κανόνος. Μετὰ τὴν Εἴσοδον, *Τὸ προσταχθὲν μυστικῶς*, τὸ προεόρτιον Ἀπολυτίκιον *Σήμερον τῆς παγκοσμίου*, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ τὸ Κοντάκιον *Ἐπελεύσει πνεύματος*, Ἀπόστολος *Εἶχεν ἡ πρώτη σκηνὴ*, Εὐαγγέλιον *Ἀναστᾶσα Μαριάμ*. Εἰς τὸ Ἐξαιρέτως *Ἄπας γηγενὴς*, Κοινωνικὸν *Ποτήριον, Εἴδομεν τὸ φῶς*, καὶ Ἀπόλυσις.

Τῷ αὐτῷ Σαββάτῳ ἑσπέρας, ὁ Μ. Ἑσπερινὸς, καὶ τὸ πρωὶ τῇ Κυριακῇ ὁ Ὄρθρος τῆς ἑορτῆς μετὰ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου, ψάλλονται ὡς διετάχθησαν ἐν περιπτώσει Η΄ § 27, 28, 29. Ἡ δὲ Ἀκολουθία τῆς Ὁσίας ψάλλεται ἐν τοῖς Ἀποδείπνοις.

Τὸ ἑσπέρας ἀποδίδοται ἡ ἑορτὴ καὶ ψάλλεται ὁ Ἑσπερινὸς, ὡς διετάχθη ἐν περιπτώσει Γ΄ § 18.

ΙΘ΄.

49. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Παρασκευῇ τῶν Βαΐων, τῇ Τετάρτῃ

πρωὶ ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* τὸ Ἰδιόμελον *Πλούσιος ἐν πάθεσι* δὶς, καὶ τὸ Μαρτυρικὸν, τὰ γ΄ τῆς σειρᾶς Προσόμοια καὶ δ΄ Προεόρτια. Δόξα Καὶ νῦν *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω*, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων.

Τὸ ἑσπέρας τὸ Μέγα Ἀπόδειπνον, τῇ Πέμπτῃ πρωὶ ὁ Ὄρθρος τῆς Παραμονῆς καὶ αἱ Ὧραι ψάλλονται ὡς διετάχθησαν ἐν περιπτώσει Α΄ § 2. Μετὰ τὴν εὐχὴν τῆς ς΄ Ὥρας Ἀπόλυσις.

Τῇ Πέμπτῃ ἑσπέρας ὁ Μέγας Ἑσπερινὸς, καὶ τὸ πρωὶ τῆς Παρασκευῆς ὁ Ὄρθρος τῆς ἑορτῆς, μετὰ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου, ψάλλονται ὡς διετάχθησαν ἐν περιπτώσει Α΄ § 3—5.

Ἡ Ἀπόδοσις

50. Τῇ αὐτῇ Παρασκευῇ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ γ΄ τῆς ἑορτῆς Προσόμοια *Βουλὴν προαιώνιον* εἰς δ΄, τὸ Ἰδιόμελον *Τὴν ψυχωφελῆ πληρώσαντες* δὶς, καὶ δ΄ Ἰδιόμελα τοῦ Λαζάρου, Δόξα *Τὴν ψυχωφελῆ πληρώσαντες* (τὸ μέγα), Καὶ νῦν *Ἀπεστάλη ἐξ Οὐρανοῦ*. Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον τῆς ἡμέρας. Εἰς τὰ Ἀπόστιχα, τὰ γ΄ Προσόμοια τοῦ μικροῦ Ἑσπερινοῦ *Ἄρχων τῶν ἄνω δυνάμεων*, Δόξα Καὶ νῦν *Τῷ ἕκτῳ μηνὶ*, τὸ Ἀπολυτίκιον *Σήμερον τῆς σωτηρίας* ἐκ τρίτου, καὶ Ἀπόλυσις. Ὁ Κανὼν τοῦ Λαζάρου ψάλλεται ἐν τοῖς Ἀποδείπνοις, τὸ δὲ πρωὶ ὁ Ὄρθρος καὶ ἡ Λειτουργία τοῦ Λαζάρου, ψάλλονται κατὰ τὴν ἐν τῷ Τριῳδίῳ διάταξιν.

ΙΖ΄.

51. Εἰ τύχοι ἡ ἑορτὴ τῷ Σαββάτῳ τοῦ Λαζάρου, τῇ Πέμπτῃ πρωὶ ἐν τῷ Ἑσπερινῷ, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ γ΄ τοῦ Τριῳδίου τῆς σειρᾶς Προσόμοια, καὶ γ΄ Προεόρτια *Κεκρυμμένον μυστήριον*, Δόξα Καὶ νῦν *Εὐαγγελίζεται ὁ Γαβριὴλ, Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας. Εἰς τὰ Ἀπόστιχα, τὸ Ἰδιόμελον δὶς, καὶ τὸ Μαρτυρικὸν ἅπαξ, Δόξα Καὶ νῦν τὸ τοῦ Τριῳδίου Σταυροθεοτοκίον, τὸ Τρισάγιον, τὸ *Θεοτόκε Παρθένε* κτλ. καὶ Ἀπόλυσις.

Τὸ ἑσπέρας ψάλλεται ὁ Κανὼν τοῦ Λαζάρου, μετὰ μικροῦ Ἀπο-

δείπνου· μετὰ τὸν Εἰρμὸν τῆς Θ' τὸ Τρισάγιον, τὸ Κοντάκιον *Ἐπελεύσει Πνεύματος*, Κυριε ἐλέητον μ' *Ὁ ἐν παντὶ καιρῷ*, τὸ *Ἄσπιλε ἀμόλυντε* κτλ. καὶ Ἀπόλυτις.

Τῇ Παρασκευῇ πρωΐ, ὁ Ὄρθρος τῆς Παραμονῆς καὶ αἱ Ὧραι ὡς διετάχθησαν ἐν περιπτώσει Α΄ § 2. Μετὰ τὴν εὐχὴν τῆς ς΄ Ὥρας Ἀπόλυσις.

52. Τὸ ἑσπέρας, ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ γ΄ τῆς ἑορτῆς Προτόμοια εἰς δ΄ καὶ τοῦ Λαζάρου Ἰδιόμελα δ΄. Δόξα *Τὴν ψυχωφελῆ πληρώσαντες* (τὸ μέγα), Καὶ νῦν *Ἀπεστάλη ἐξ Οὐρανοῦ*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα τῆς ἑορτῆς. Εἰς τὰ Ἀπόστιχα, τὰ Ἰδιόμελα τῆς ἑορτῆς, Δόξα Καὶ νῦν *Σήμερον χαρᾶς Εὐαγγέλια*, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς δὶς, *Τὴν κοινὴν Ἀνάστασιν* ἅπαξ, καὶ Ἀπόλυσις.

Σημ. Τῷ Σαββάτῳ τοῦ Λαζάρου, καὶ τῇ Κυριακῇ τῶν Βαΐων, προτάττεται ἡ τοῦ Εὐαγγελισμοῦ Ἀκολουθία διά τε τὸν λόγον τῆς προτεραιότητος κατὰ χρόνον, καὶ διὰ τὸ ὅτι ἐστὶν ἡ τοῦ Εὐαγγελισμοῦ ἑορτὴ τὸ κεφάλαιον τῆς σωτηρίας ἡμῶν καὶ πρώτη ἀρχὴ πασῶν τῶν Δεσποτικῶν ἑορτῶν.

53. Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ἡ Λιτὴ τῆς ἑορτῆς, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον, καὶ ὁ Πολυέλεος τῆς ἑορτῆς. Καθίσματα εἰς τὴν α΄ Στιχολογίαν τοῦ Λαζάρου, Δόξα Καὶ νῦν τῆς ἑορτῆς, εἰς τὴν β΄ αὖθις τοῦ Λαζάρου ἓν, καὶ τῆς ἑορτῆς ἕτερον, εἰς τὴν γ΄ Στιχολογίαν τὰ δύο τῆς ἑορτῆς· οἱ Ἀναβαθμοὶ, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἦχου, τὸ Προκείμενον τῆς ἑορτῆς, *Πᾶσα πνοὴ*, καὶ τὸ Εὐαγγέλιον τὸ τῆς Λειτουργίας τῆς ἑορτῆς, τὸ *Ἀνάστασιν Χριστοῦ*, ὁ Ν΄ ψαλμὸς χύμα, Δόξα *Ταῖς τῆς Θεοτόκου*, Καὶ νῦν τὸ αὐτὸ, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς*, καὶ τὸ Ἰδιόμελον *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, ὁ Κανὼν τῆς ἑορτῆς εἰς ς΄, καὶ ὁ τοῦ Λαζάρου εἰς δ΄ μετὰ Στίχου *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι*· ἀπὸ γ΄ Ὠδῆς Κοντάκιον καὶ Οἶκος τοῦ Τριῳδίου, εἶτα Κάθισμα τοῦ Λαζάρου *Συμπαρέστησαν Χριστῷ*, καὶ τὸ τῆς ἑορτῆς *Ἀπεστάλη Γαβριὴλ· ἀφ' ς'* τὸ Κοντάκιον καὶ ὁ Οἶκος τῆς ἑορτῆς, τὸ Μηνολόγιον τῆς ἑορτῆς καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου· αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα*

μου, καὶ εἶτα ἡ θ' Ὠδὴ τῆς ἑορτῆς καὶ τοῦ Λαζάρου μετὰ τοῦ αὐτοῦ στίχου *Δόξα σοι ὁ Θεὸς*, ἡ Καταβασία *Εὐαγγελίζου γῆ*... *Ὡς ἐμψύχῳ Θεοῦ Κιβωτῷ*, Ἐξαποστειλάρια τῆς ἑορτῆς ἓν, καὶ τοῦ Λαζάρου δύο. Εἰς τοὺς Αἴνους, τῆς ἑορτῆς Προσόμοια γ΄ καὶ τοῦ Λαζάρου Ἰδιόμελα γ΄. Δόξα *Μέγα καὶ παράδοξον*, Καὶ νῦν *Τὸ ἀπ' αἰῶνος μυστήριον*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον τῆς σωτηρίας*.

54. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς· εἰς τὸ δ΄ Ἀντίφωνον *Ὁ δι' ἡμᾶς σαρκωθεὶς*, τὸ Εἰσοδικὸν *Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας . . . Σῶσον ἡμᾶς . . . ὁ ἀναστὰς ἐκ νεκρῶν*, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς, τοῦ Λαζάρου *Τὴν κοινὴν Ἀνάστασιν*, καὶ Κοντάκιον *Τῇ ὑπερμάχῳ*· ἀντὶ τοῦ Τρισαγίου *Ὅσοι εἰς Χριστὸν*, Ἀπόστολος τῆς ἑορτῆς, καὶ Εὐαγγέλιον τοῦ Λαζάρου. Εἰς τὸ Ἐξαιρέτως *Εὐαγγελίζου γῆ χαρὰν μεγάλην*, Κοινωνικὸν *Ἐξελέξατο Κύριος, Τὴν κοινὴν ἀνάστασιν* καὶ Ἀπόλυσις.

Τὸ ἑσπέρας, ἐν τῇ Θ΄ Ὥρᾳ λέγομεν Ἀπολυτίκιον καὶ Κοντάκιον τῆς ἑορτῆς, καὶ οὕτως ἀποδίδοται ἡ ἑορτὴ ἐν τῇ περιπτώσει ταύτῃ, κατὰ τὴν γνώμην τῶν ἁγιδίμων Πατριαρχῶν Κωνσταντίου τοῦ ἀπὸ Σιναίου, καὶ Γρηγορίου τοῦ ς΄.

ΙΗ΄.

55. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Κυριακῇ τῶν Βαΐων, τῇ Παρασκευῇ, ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα*, τὸ Ἰδιόμελον *Τὴν ψυχωφελῆ πληρώσαντες* δὶς, καὶ τὸ Μαρτυρικὸν ἅπαξ, τοῦ Λαζάρου Ἰδιόμελα δ΄ καὶ γ΄ Προεόρτια. Δόξα *Τὴν ψυχωφελῆ πληρώσαντες* (τὸ μέγα), Καὶ νῦν *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω*, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων.

Τὸ ἑσπέρας ψάλλεται, μετὰ Ἀποδείπνου μικροῦ, ὁ Κανὼν τοῦ Λαζάρου, ὡς συνήθως· Κοντάκιον μετὰ τὴν Θ΄ *Ἡ πάντων χαρά*.

56. Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον, μετὰ τὸ *Εὐλογητὸς ὁ Θεὸς*, τὸ Τρισάγιον, ὁ Ν΄ ψαλμὸς, τὸ Ἀπολυτίκιον *Τὴν κοινὴν ἀνάστασιν* καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος, Τὴν κοινὴν ἀνάστασιν* δὶς, καὶ τὸ Προεόρτιον ἅπαξ, τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος.

Κάθισμα *Κατοικτείρας τῆς Μάρθας* δίς, καὶ εὐθὺς τὰ Εὐλογητάρια· μετὰ τὴν Ἐκφώνησιν *Ὅτι ηὐλόγηται*, καὶ τὸ ἕτερον *Ἡ πηγὴ τῆς σοφίας* δίς, τὸ *Ἀνάστασιν Χριστοῦ* καὶ ὁ Ν' κῶμα, οἱ δύο Κανόνες τοῦ Λαζάρου καὶ ὁ Προεόρτιος μετὰ Στίχου *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι*· ἀπὸ γ' Ὠδῆς τὸ Κοντάκιον *Ἐπελεύσει Πνεύματος*, τὸ Κάθισμα *Προγινώσκων τὰ πάντα*, καὶ τὸ Προεόρτιον *Σήμερον ἅπασα*· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Λαζάρου, τὸ Μηνολόγιον καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου· αἱ Καταβασίαι *Ὑγρὰν διοδεύσας*, καὶ ἀντὶ τοῦ *Τὴν τιμιωτέραν*, ψάλλονται καὶ οἱ δύο Κανόνες τῆς θ' Ὠδῆς τοῦ Λαζάρου, ἡ Καταβασία *Κυρίως Θεοτόκον*, εἶτα τὸ *Ἅγιος Κύριος ὁ Θεὸς* ἐκ δευτέρου, καὶ τὸ *Ὑψοῦτε Κύριον τὸν Θεὸν*, τὰ δύο τοῦ Λαζάρου Ἐξαποστειλάρια καὶ τὸ Προεόρτιον. Εἰς τοὺς Αἴνους, Ἰδιόμελα τοῦ Λαζάρου δ' καὶ δ' Προεόρτια, Δόξα *Μέγα καὶ παράδοξον θαῦμα*, Καὶ νῦν *Ὑπερευλογημένη* Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

57. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοί, Τροπάρια ἐκ τῆς γ' καὶ ς' Ὠδῆς τοῦ Κανόνος τοῦ Λαζάρου. Μετὰ τὴν Εἴσοδον, *Δεῦτε προσκυνήσωμεν . . . ὁ ἀναστὰς ἐκ νεκρῶν*, τὸ Ἀπολυτίκιον *Τὴν κοινὴν Ἀνάστασιν*, τὸ Προεόρτιον *Σήμερον τῆς παγκοσμίου*, τὸ Κοντάκιον *Ἡ πάντων χαρὰ*, τὸ *Ὅσοι εἰς Χριστὸν*, Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Λαζάρου. Εἰς τὸ Ἐξαιρέτως, ὁ τῆς θ' Εἱρμὸς *Τὴν ἀγνὴν ἐνδόξως τιμήσωμεν*, Κοινωνικὸν *Ἐκ στόματος νηπίων*, τὸ Ἀπολυτίκιον *Τὴν κοινὴν Ἀνάστασιν*, καὶ ἡ Ἀπόλυσις *Ὁ ἀναστὰς ἐκ νεκρῶν*.

58. Τῷ Σαββάτῳ ἐν τῷ Μ. Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ τῆς ἑορτῆς γ' Προσόμοια εἰς δ' καὶ τῶν Βαΐων Ἰδιόμελα δ', Δόξα Καὶ νῦν *Ἀπεστάλη ἐξ οὐρανοῦ*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον *Ὁ Κύριος ἐβασίλευσεν*, τὰ Ἀναγνώσματα, τὸ πρῶτον τῆς ἑορτῆς, καὶ τὰ δύο τῶν Βαΐων. Εἰς τὰ Ἀπόστιχα, τὰ γ' τῆς ἑορτῆς Ἰδιόμελα *Τῷ ἕκτῳ μηνὶ* κτλ. Δόξα *Σήμερον ἡ χάρις τοῦ Ἁγίου Πνεύματος*, Καὶ νῦν *Σήμερον χαρᾶς εὐαγγέλια*, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς, τῶν Βαΐων, αὖθις τὸ τῆς ἑορτῆς, καὶ ἡ Ἀπόλυσις τῶν Βαΐων.

59. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸ *Εὐλογητὸς ὁ Θεὸς* τὸ Τρισάγιον, ὁ Ν' ψαλμός, ψάλλεται ἡ Λιτὴ τῆς ἑορτῆς καὶ ἡ τῶν Βαΐων, Δόξα Καὶ νῦν *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, τὸ Τρισάγιον,

τὸ *Σήμερον τῆς σωτηρίας* καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς ἐν τῷ Ἑσπερινῷ, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος τῆς ἑορτῆς. Εἰς τὴν α' Στιχολογίαν Καθίσματα τῶν Βαΐων δ', Καὶ νῦν τῆς ἑορτῆς *Ὁ μέγας στρατηγὸς*, εἰς τὴν δ' Στιχολογίαν αὖθις δ' τῶν Βαΐων, Καὶ νῦν *Σήμερον ἅπασα*· εἰς τὴν γ' Στιχολογίαν τὸ α' τῆς ἑορτῆς *Γαβριὴλ ἐξ οὐρανοῦ*, εἶτα τῶν Βαΐων τὸ *Ὁ ἐπὶ θρόνου Χερουβὶμ*, Καὶ νῦν *Ἀπεστάλη Γαβριὴλ*, οἱ Ἀναβαθμοί, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου, τὸ Προκείμενον τῆς ἑορτῆς, τὸ *Πᾶσα πνοὴ* καὶ Εὐαγγέλιον τὸ τῆς Λειτουργίας τῆς ἑορτῆς, ὁ Ν' ψαλμὸς κῶμα, Δόξα *Ταῖς τῆς Θεοτόκου*, Καὶ νῦν τὸ αὐτό, Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, ὁ Κανὼν τῆς ἑορτῆς εἰς ἓξ, καὶ ὁ τῶν Βαΐων εἰς δ' ἄνευ Στίχων· ἀπὸ γ' Ὠδῆς ἡ Ὑπακοὴ *Μετὰ κλάδων ὑμνήσαντες πρότερον*· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τῆς ἑορτῆς, τὸ Μηνολόγιον τῆς ἑορτῆς καὶ τὸ Ὑπόμνημα τῶν Βαΐων, αἱ Καταβασίαι *Ὥρθησαν αἱ πηγαὶ*, εἶτα ψάλλεται ἡ θ' Ὠδὴ καὶ τῶν δύο ἑορτῶν, προηγουμένης τῆς τοῦ Εὐαγγελισμοῦ, καὶ λέγεται τὸ *Εὐαγγελίζου γῆ. . . Ὡς ἐμψύχῳ Θεοῦ*, καὶ ἡ τῶν Βαΐων *Θεὸς Κύριος* ἄνευ Στίχου, τὸ αὐτὸ καὶ Καταβασία· εἶτα *Ἅγιος Κύριος ὁ Θεὸς* δίς (τοῦτο μόνον)· καὶ τὰ δύο τῆς ἑορτῆς Ἐξαποστειλάρια, μετὰ ταῦτα ἀναγινώσκεται ὑπὸ τοῦ Ἀρχιερέως ἢ Ἱερέως ἡ εὐχὴ τῶν Βαΐων. Εἰς τοὺς Αἴνους, Προσόμοια τῆς ἑορτῆς γ' καὶ τῶν Βαΐων Ἰδιόμελα *Ὁ πλεῖστος ὄχλος Κύριε γ'*· Δόξα *Πρὸ ἓξ ἡμερῶν τοῦ Πάσχα*, Καὶ νῦν *Τὸ ἀπ' αἰῶνος μυστήριον*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον τῆς σωτηρίας*.

60. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς· εἰς τὸ δ' Ἀντίφωνον *Ὁ δι' ἡμᾶς σαρκωθείς*, εἰς τὸ γ' Ἀντίφωνον *Τὴν κοινὴν ἀνάστασιν*· τὸ Εἰσοδικὸν τῆς ἑορτῆς *Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας . . . σῶσον ἡμᾶς . . . ὁ δι' ἡμᾶς σαρκωθείς*, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς, τῶν Βαΐων, καὶ Κοντάκιον *Τῇ ὑπερμάχῳ*, τὸ Τρισάγιον· Ἀπόστολος τῆς ἑορτῆς, καὶ Εὐαγγέλιον τῶν Βαΐων. Εἰς τὸ Ἐξαιρέτως *Εὐαγγελίζου γῆ . . . Ὡς ἐμψύχῳ Θεοῦ*· Κοινωνικὸν *Ἐξελέξατο Κύριος, Τὴν κοινὴν ἀνάστασιν*, καὶ Ἀπόλυσις.

Ἡ ἀπόδοσις.

61. Τὸ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ γ' Ἀπόστιχα τῶν Βαΐων Ἰδιόμελα *Χαῖρε καὶ εὐφραίνου*, καὶ γ' τὰ *Βουλὴν προαιώνιον*· Δόξα Καὶ νῦν *Ἀπεστάλη ἐξ οὐρανοῦ*. Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον τῆς ἡμέρας. Εἰς τὰ Ἀπόστιχα, τὰ γ' Ἰδιόμελα τοῦ Τριῳδίου *Ἐκ βαΐων καὶ κλάδων*, Δόξα Καὶ νῦν *Σήμερον χαρᾶς εὐαγγέλια*· μετὰ δὲ τὸ *Νῦν ἀπολύεις*, ψάλλονται αἱ τρεῖς Ὠδαὶ τοῦ Κανόνος τοῦ Τριῳδίου *Ἰωσὴφ τὴν σωφροσύνην*. Μετὰ τὸν Εἰρμὸν τῆς θ', τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς ἑκ τρίτου, καὶ Ἀπόλυσις.

Περὶ τὴν α' ὥραν τῆς νυκτὸς ψάλλεται ἡ τοῦ Ὄρθρου τοῦ Νυμφίου Ἀκολουθία, κατὰ τὴν τοῦ Τριῳδίου διάταξιν, ὡς καὶ τὸ πρωΐ, τῇ Μ. Δευτέρᾳ, ἡ Λειτουργία τῶν Προηγιασμένων, ὡς εἴθισται (ὅρα τὴν διάταξιν ἐν τῷ Τυπικῷ τοῦ Τριῳδίου).

ΙΘ'.

62. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Μ. Δευτέρᾳ, τῇ Κυριακῇ τῶν Βαΐων ἑσπέρας, ἐν τῷ Μ. Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ γ' Προσόμοια τῆς ἑορτῆς καὶ τὰ γ' Ἰδιόμελα τῶν Ἀποστίχων τῶν Βαΐων *Χαῖρε καὶ εὐφραίνου*, Δόξα *Ὁ ἔχων θρόνον οὐρανὸν*, Καὶ νῦν *Ἀπεστάλη ἐξ οὐρανοῦ*. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα τῆς ἑορτῆς. Εἰς τὰ Ἀπόστιχα, τὰ τρία τοῦ Τριῳδίου Ἰδιόμελα *Ἐκ βαΐων καὶ κλάδων*· Δόξα Καὶ νῦν *Σήμερον χαρᾶς εὐαγγέλια*, τὸ Ἀπολυτίκιον *Σήμερον τῆς σωτηρίας* ἑκ τρίτου καὶ Ἀπόλυσις. Ταύτῃ τῇ ἑσπέρᾳ ἡ Ἀκολουθία τοῦ Νυμφίου οὐ ψάλλεται διὰ τὸ αἰδέσιμον τῆς ἑορτῆς.

Τῇ Μ. Δευτέρᾳ πρωΐ, ἡ Ἀκολουθία τοῦ Ὄρθρου τῆς ἑορτῆς, μετὰ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου, ψάλλεται ὡς διετάχθη ἐν περιπτώσει Α' § 4, 5.

Σημ. Ἐν τῇ τραπέζῃ κατάλυσις οἴνου καὶ ἐλαίου γίνεται ἂν συμπέσῃ ἡ ἑορτὴ ἐν Δευτέρᾳ, Τρίτῃ, Τετάρτῃ καὶ Πέμπτῃ τῆς Μ. Ἑβδομάδος. Τὸ ἀρχαῖον τοῦ ,αχπε' Τυπικὸν ἐσημείου κατάλυσιν καὶ ἐν τῇ Μ. Παρασκευῇ καὶ τῷ Μ. Σαββάτῳ, καθότι τότε οὔπω ἦν

διατεταγμένη ἡ τῆς ἑορτῆς μετάθεσις εἰς τὴν ἡμέραν τοῦ Πάσχα· ἀλλ' ἐπειδὴ ἐὰν ἡ ἑορτὴ συμπέσῃ ἐν Μ. Σαββάτῳ ἢ Μ. Παρασκευῇ, μετατίθεται νῦν εἰς τὴν ἡμέραν τοῦ Πάσχα, διὰ τοῦτο ἐν ταῖς δυσὶ ταύταις ἡμέραις κατάλυσις οἴνου καὶ ἐλαίου οὐ γίνεται.

Τὸ ἑσπέρας ἀποδίδοται ἡ ἑορτὴ καὶ ψάλλεται ὁ Ἑσπερινὸς ὡς διετάχθη ἐν περιπτώσει Γ' § 18.

Περὶ τὴν α' ὥραν τῆς νυκτὸς ψάλλεται ἡ τοῦ Ὄρθρου τοῦ Νυμφίου Ἀκολουθία κατὰ τὴν τοῦ Τριῳδίου διάταξιν, ὡς καὶ τὸ πρωΐ τῇ Μ. Τρίτῃ ἡ Λειτουργία τῶν Προηγιασμένων, ὡς εἴθιστται.

Κ'.

63. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Μ. Τρίτῃ, τῇ Μ. Δευτέρᾳ πρωΐ, μετὰ τὴν Στιχολογίαν τοῦ Ψαλτηρίου τῆς ἡμέρας, ἀναγινώσκονται αἱ Ὧραι λιταὶ καὶ λέγομεν Τροπάριον *Ἰδοὺ ὁ Νυμφίος ἔρχεται*, καὶ Κοντάκιον *Ὁ Ἰακὼβ ὠδύρετο*. Μετὰ τὴν εὐχὴν τῆς ς' Ὥρας Ἀπόλυσις διὰ τὸ μὴ τελεῖσθαι Προηγιασμένην Λειτουργίαν.

Τὸ ἑσπέρας μετὰ τὴν Θ' Ὥραν, ὁ Μ. Ἑσπερινὸς, καὶ τὸ πρωΐ τῇ Μ. Τρίτῃ ὁ Ὄρθρος τῆς ἑορτῆς μετὰ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου, ψάλλονται ὡς διετάχθησαν ἐν περιπτώσει Α' § 3—5.

Τῇ αὐτῇ ἡμέρᾳ ἑσπέρας ἀποδίδοται ἡ ἑορτὴ καὶ ψάλλεται ὁ Ἑσπερινὸς ὡς διετάχθη ἐν περιπτώσει Γ' § 18· ἀλλὰ μετὰ τὸ *Νῦν ἀπολύεις* ψάλλεται ὁ Κανὼν τοῦ Τριῳδίου, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τρὶς, καὶ Ἀπόλυσις.

Περὶ τὴν α' ὥραν τῆς νυκτὸς ψάλλεται ἡ τοῦ Ὄρθρου τοῦ Νυμφίου Ἀκολουθία κατὰ τὴν τοῦ Τριῳδίου διάταξιν, ὡς καὶ τὸ πρωΐ ἡ Λειτουργία τῶν Προηγιασμένων.

ΚΑ'.

64. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Μ. Τετάρτῃ, τῇ Μ. Τρίτῃ πρωΐ, μετὰ τὴν Στιχολογίαν τοῦ Ψαλτηρίου τῆς ἡμέρας, ἀναγινώσκονται αἱ Ὧραι λιταὶ, τὸ Τροπάριον *Ἰδοὺ ὁ Νυμφίος*, καὶ τὸ Κοντάκιον *Τὴν ὥραν ψυχὴ*, μετὰ δὲ τὴν Θ' Ὥραν οἱ Μακαρισμοὶ χύμα κτλ. ὡς σύνηθες καὶ ἡ Ἀπόλυσις. Ἐν τῷ μικρῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ γ' Ἰδιό-

μελα τῶν Ἀποστίχων (ἅπερ ἐψάλησαν τὴν προτεραίαν) εἰς ἓξ, Δόξα Καὶ νῦν *Ἰδού σοι τὸ τάλαντον*, Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν*, τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω* καὶ τὸ Εὐαγγέλιον τῆς ἡμέρας, καὶ καθεξῆς ἡ Λειτουργία τῶν Προηγιασμένων, Κοινωνικὸν *Γεύσασθε, Εὐλογήσω τὸν Κύριον* καὶ Ἀπόλυσις.

Τὸ ἑσπέρας ἄνευ Θ΄ ὁ Μ. τῆς ἑορτῆς Ἑσπερινὸς, καὶ τὸ πρωὶ τῇ Μ. Τετάρτῃ ὁ Ὄρθρος μετὰ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου ψάλλονται ὡς διετάχθησαν ἐν περιπτώσει Α΄ § 3—5.

Τὸ ἑσπέρας τῆς Μ. Τετάρτης ἀποδίδοται ἡ ἑορτὴ καὶ ψάλλεται ὁ Ἑσπερινὸς ὡς διετάχθη ἐν περιπτώσει Γ΄ § 18, ψαλλομένου συνάμα, μετὰ τὸ *Νῦν ἀπολύεις*, καὶ τοῦ Κανόνος τοῦ Τριῳδίου.

Σημειωτέον ὅτι ὡς κατὰ τὴν ἑσπέραν τῆς Κυριακῆς τῶν Βαΐων (ἴδε § 62), οὕτω καὶ τὰς λοιπὰς μέχρι τῆς Μ. Τετάρτης ἡμέρας, καθ' ἃς ψάλλεται ὁ Μ. τῆς ἑορτῆς Ἑσπερινὸς, καταλιμπάνεται ἡ Ἀκολουθία τοῦ Νυμφίου διὰ τὸ αἰδέσιμον τῆς φαιδρᾶς τοῦ Εὐαγγελισμοῦ ἑορτῆς.

ΚΒ΄.

65. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Μ. Πέμπτῃ, τῇ Μ. Τετάρτῃ πρωὶ, μετὰ τὴν τοῦ Ψαλτηρίου τῆς ἡμέρας Στιχολογίαν, ἀναγινώσκονται αἱ Ὧραι λιταὶ, ὡς χθὲς, Τροπάριον *Ἰδοὺ ὁ Νυμφίος*, καὶ Κοντάκιον *Ὑπὲρ τὴν πόρνην ἀγαθὲ ἀρομήσας*, κτλ. Ἐν τῷ μικρῷ Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὰ *Πρὸς Κύριον*, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ δ΄ Στιχηρὰ Ἰδιόμελα τῶν Αἴνων τῆς Μ. Πέμπτης *Συντρέχει λοιπὸν*, καὶ τὰ λοιπὰ γ΄, Δόξα Καὶ νῦν *Γέννημα ἐχιδνῶν*, Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν* καὶ τὰ Ἀναγνώσματα τῆς ἡμέρας, τὸ *Κατευθυνθήτω* καὶ τὸ Εὐαγγέλιον *Τοῦ Ἰησοῦ γενομένου*, καὶ ἡ λοιπὴ Ἀκολουθία τῶν Προηγιασμένων.

66. Τὸ ἑσπέρας, ἐν τῷ Μ. Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ γ΄ τῆς ἑορτῆς Προσόμοια εἰς ς΄, Δόξα Καὶ νῦν *Ἀπεστάλη ἐξ οὐρανοῦ*. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα τῆς ἑορτῆς. Εἰς τὰ Ἀπόστιχα, τὰ γ΄ Ἰδιόμελα *Τῷ ἕκτῳ μηνὶ*, Δόξα Καὶ νῦν *Σήμερον χαρᾶς εὐαγγέλια*, τὸ Ἀπολυτίκιον ἐκ τρίτου, καὶ Ἀπόλυσις.

67. Τὸ πρωὶ τῆς Μ. Πέμπτης μετὰ τὸ *Εὐλογητὸς ὁ Θεὸς*, τὸ Τρισάγιον, ὁ Ν΄ ψαλμὸς καὶ ἡ Λιτὴ τῆς ἑορτῆς, τὸ Τρισάγιον αὖθις, τὸ Ἀπολυτίκιον, καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ Ἀπολυτίκιον ἐκ τρίτου καὶ ὁ Πολυέλεος *Ἐξηρεύξατο ἡ καρδία μου*, τὰ Καθίσματα μόνα τῆς ἑορτῆς κατὰ σειρὰν, οἱ Ἀναβαθμοὶ, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου, τὸ Προκείμενον *Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας*, τὸ *Πᾶσα πνοὴ*, καὶ Εὐαγγέλιον τὸ τῆς Λειτουργίας τῆς ἑορτῆς, ὁ Ν΄ χύμα, Δόξα *Ταῖς τῆς Θεοτόκου*, Καὶ νῦν τὸ αὐτὸ, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς*, καὶ τὸ Ἰδιόμελον *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, ὁ Κανὼν τῆς ἑορτῆς εἰς ς΄· ἀπὸ γ΄ Ὠδῆς, μετὰ τὸ Κοντάκιον καὶ τὸν Οἶκον τοῦ Τριῳδίου, Κάθισμα τοῦ Τριῳδίου[2] *Ὁ λίμνας καὶ πηγὰς*, καὶ τῆς ἑορτῆς *Ὁ λόγος τοῦ Θεοῦ· ἀφ' ς΄* Κοντάκιον καὶ Οἶκος τῆς ἑορτῆς, τὸ Μηνολόγιον τῆς ἑορτῆς καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου*, καὶ ψάλλεται ἡ θ΄ Ὠδὴ τῆς ἑορτῆς, Ἐξαποστειλάρια *Τὸν νυμφῶνά σου βλέπω ἄπαξ*, καὶ τὰ δύο τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, τὸ Ἰδιόμελον τοῦ Τριῳδίου *Μηδεὶς ὢ πιστοὶ δὶς*, καὶ τὰ γ΄ τῶν Αἴνων Προσόμοια τῆς ἑορτῆς εἰς δ΄, Δόξα *Μυσταγωγῶν σου Κύριε*, Καὶ νῦν *Τὸ ἀπ' αἰῶνος μυστήριον*, Δοξολογία Μ. καὶ τὸ *Σήμερον τῆς σωτηρίας*.

68. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς, Εἰσοδικὸν *Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας, Σῶσον ἡμᾶς. . . ὁ δι' ἡμᾶς σαρκωθεὶς*, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς, καὶ τὸ Κοντάκιον *Τῇ ὑπερμάχῳ*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Μ. Πέμπτης, καὶ καθεξῆς ἡ Λειτουργία τοῦ Χρυσοστόμου[3]· ἀντὶ τοῦ *Οἱ τὰ Χερουβὶμ*, ψάλλεται τὸ Τροπάριον *Τοῦ δείπνου σου τοῦ μυστικοῦ*. Εἰς τὸ Ἐξαιρέτως *Εὐαγγελιζου γῆ. . . Ὡς ἐμψύχῳ Θεοῦ κιβωτῷ*,

---

2. *Κατὰ τὴν ἡμέραν ταύτην, ἥτις ἐστὶν ἡ μόνη ἐν τῇ Μ. ἑβδομάδι, καθ' ἣν συμψάλλονται τὰ τῆς ἑορτῆς μετὰ τῶν τῆς ἡμέρας, προηγοῦνται τὰ τοῦ Τριῳδίου, ὅπου ἂν ἐπιτρέπωνται ταῦτα, καὶ ἔπονται τὰ τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, διὰ τὸ περίδοξον τῶν φρικτῶν τῆς ἡμέρας Παθῶν.*

3. *Τὸ ἀρχαῖον Τυπικὸν τοῦ ,αχπε' σημειοῖ ὅτι τελεῖται τοῦ Μ. Βασιλείου Λειτουργία, ἂν συμπέσῃ ἡ ἑορτὴ τοῦ Εὐαγγελισμοῦ τῇ Μεγάλῃ Πέμπτῃ.*

Κοινωνικὸν *Ἐξελέξατο Κύριος τὴν Σιών*· ἀντὶ τοῦ *Εἴδομεν τὸ φῶς, Τοῦ δείπνου σου τοῦ μυστικοῦ* χύμα καὶ Ἀπόλυσις.

Τὸ ἑσπέρας ἀποδίδοται ἡ ἑορτὴ καὶ ψάλλεται ὁ Ἑσπερινὸς ὡς διετάχθη ἐν περιπτώσει Γ΄ § 18.

Περὶ τὴν α΄ ὥραν τῆς νυκτὸς ψάλλεται ἡ Ἀκολουθία τῶν Ἁγίων Παθῶν, ὡς διατάττεται ἐν τῷ Τριῳδίῳ.

ΚΓ΄.

69. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Μ. Παρασκευῇ ἢ τὸ Μ. Σάββατον, ἡ ἑορτὴ μετατίθεται καὶ ψάλλεται ἡ Ἀκολουθία κατ' αὐτὴν τὴν ἡμέραν τοῦ Πάσχα μετὰ τῆς Ἀναστασίμου Ἀκολουθίας.

Περὶ τῶν αἰτιῶν, δι' ἃς μετατίθεται ἡ ἑορτὴ τοῦ Εὐαγγελισμοῦ εἰς τὴν ἡμέραν τοῦ Πάσχα.

«Ἡ Ἁγία τοῦ Χριστοῦ Μ. Ἐκκλησία ἀπὸ ἑνὸς αἰῶνος καὶ ἐντεῦθεν, παρὰ Πατριαρχῶν καὶ Ἀρχιερέων ὡς παρελάβομεν, κατιδοῦσα τὴν διαφωνίαν καὶ σύγχυσιν τὴν συμβαίνουσαν ἀνὰ πάσας τὰς ἐν πόλεσι καὶ κώμαις ἐκκλησίας, μέριμναν καὶ περὶ τῆς τοῦ Εὐαγγελισμοῦ μεγάλης πανηγύρεως ἀνελάβετο. Καὶ δὴ, πρὸς παῦσιν τῆς δοκούσης ἀνωμαλίας, μάλιστα ἐν ταῖς τοῦ ἁπλοῦ λαοῦ ἀκοαῖς τοῦ μὴ κατὰ βάθος τὰ τοῦ Πνεύματος ἐννοοῦντος, διετάξατο τὴν τῆς ἑορτῆς μετάθεσιν, ἐὰν τύχῃ ἐν ταῖς δυσὶ πενθίμοις ταύταις ἡμέραις, εἰς τὴν κυριώνυμον τοῦ Πάσχα ἡμέραν· ἵνα τὰ χαρμόσυνα τοῖς χαρμοσύνοις συνᾴδωνται καὶ συμμελῳδῶνται, οἰκονομικῶς ἀποκλείουσα τὴν ἀνάμιξιν τῶν φαιδρῶν μετὰ τῶν πενθίμων, καὶ ἵνα μὴ ἀσυμφωνία δεικνύηται μεταξὺ τοῦ *Σήμερον κρεμᾶται ἐπὶ ξύλου* καὶ τοῦ *Σήμερον χαρᾶς Εὐαγγέλια*, καὶ τοῦ *Δακρυρρόους θρήνους ἐπὶ σὲ Ἀγνὴ* μετὰ τοῦ *Ὁ Γαβριὴλ τῇ Παρθένῳ τὸ Εὐαγγέλιον*· Ταῦτα δὲ, ὡς εἴρηται, διὰ τὰς ἐν πόλεσι καὶ κώμαις μόνον ἐκκλησίας, τῶν μοναστηριακῶν Τυπικῶν ἀμεταβλήτων, ἀνεπάφων καὶ ἀμετακινήτων διαμενόντων διά τε τὸ πρὸς τοὺς ἀρχαίους Κτήτορας αὐτῶν καὶ Πατέρας σέβας, καὶ διὰ τὸ διάφορον τοῦ μοναχικοῦ πολιτεύματος καὶ τῆς ὑψηλοτέρας διαγωγῆς».

Μετατεθείσης οὖν τῆς ἑορτῆς τῇ Κυριακῇ τοῦ Πάσχα, ἡ Ἀκολουθία ψάλλεται ὡς ἐφεξῆς·

70. Τῷ Μ. Σαββάτῳ μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα*, ἀναστάσιμα Στιχηρὰ *Τὰς ἑσπερινὰς ἡμῶν εὐχὰς* γ΄, τοῦ Τριῳδίου *Σήμερον ὁ ᾅδης* γ΄, καὶ τῆς ἑορτῆς *Βουλὴν προαιώνιον* εἰς δ΄. Δόξα *Τὴν σήμερον μυστικῶς*, Καὶ νῦν *Ἀπεστάλη ἐξ οὐρανοῦ*. Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν*, καὶ εὐθὺς, ἄνευ προκειμένου, τὰ Ἀναγνώσματα.

α΄. *Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς*, β΄ τῆς ἑορτῆς *Ἐξῆλθεν Ἰακὼβ ἐπὶ τοῦ φρέατος τοῦ ὅρκου*, γ΄ τοῦ Τριῳδίου *Ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν*, δ΄ τὸ τελευταῖον τῷ Τριῳδίου *Ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονόσορ ὁ Βασιλεὺς* (τὰ δὲ λοιπὰ Ἀναγνώσματα παραλείπονται χάριν συντομίας)· μετὰ τὴν τοῦ τελευταίου Ἀναγνώσματος συμπλήρωσιν, οἱ Χοροὶ ἀνιστάμενοι ψάλλουσιν εἰς ἦχον α΄ *Τὸν Κύριον ὑμνεῖτε*, ἕως ἂν πληρωθῶσι πάντες οἱ Στίχοι, εἶτα Συναπτὴ μικρὰ, καὶ ψάλλεται ἀντὶ τοῦ Τρισαγίου τὸ *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε*, ὁ Ἀπόστολος *Ἀδελφοὶ ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν*· μετὰ τὴν συμπλήρωσιν τοῦ Ἀποστόλου, εὐθὺς ψάλλεται εἰς ἦχον βαρὺν τὸ *Ἀνάστα ὁ Θεὸς κρῖνον τὴν γῆν*, ἀρχῆς γινομένης ἀπὸ τοῦ Ἱερέως πρὸ τῆς ὡραίας Πύλης σκορπίζοντος συνάμα καὶ τὰς δάφνας ἐν τῷ Ναῷ, εἶτα τὸ αὐτὸ καὶ οἱ Χοροὶ μέχρις ἂν πληρωθῶσιν οἱ Στίχοι τοῦ ψαλμοῦ *Ὁ Θεὸς ἔστη ἐν συναγωγῇ*, καὶ εὐθὺς τὸ Εὐαγγέλιον *Ὀψὲ Σαββάτων*, καὶ ἀκολούθως ἡ Λειτουργία τοῦ Μ. Βασιλείου· ἀντὶ τοῦ *Οἱ τὰ Χερουβὶμ*, ψάλλεται τὸ Τροπάριον *Σιγησάτω πᾶσα σὰρξ βροτεία* εἰς ἦχον πλάγιον α΄, καὶ Κοινωνικὸν *Ἐξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος*· ἀντὶ τοῦ *Εἴδομεν τὸ φῶς, Μνήσθητι εὐσπλαγχνε καὶ ἡμῶν* (εἰς ἦχον β΄ εἱρμολογικῶς) καὶ Ἀπόλυσις.

71. Περὶ τὴν δ΄ ὥραν τῆς νυκτὸς, τῇ Κυριακῇ τοῦ Πάσχα μετὰ τὸ *Εὐλογητὸς ὁ Θεὸς*, τὸ *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι, Βασιλεῦ οὐράνιε*, τὸ Τρισάγιον, τὸ Κύριε ἐλέησον ιβ΄, Δόξα Καὶ νῦν, *Δεῦτε προσκυνήσωμεν* τρὶς, καὶ ὁ Ν΄ ψαλμὸς χῦμα, καὶ ψάλλεται ὁ Κανὼν τοῦ Μ. Σαββάτου *Κύματι θαλάσσης*· εἰς τὴν δ΄ Ὠδὴν λαμβάνει καιρὸν ὁ Πατριάρχης (ἢ ὁ Ἀρχιερεὺς), εἰσέρχεται εἰς τὸ Βῆμα, καὶ ἐνδύεται ἅπασαν τὴν Ἀρχιερατικὴν στολὴν, ὡς καὶ οἱ λοιποὶ Ἀρχιερεῖς καὶ Ἱε-

ρεῖς, καὶ μετὰ τὴν θ' Ὠδὴν τοῦ Κανόνος ἐξέρχονται ἐκ τοῦ Βήματος ψάλλοντες πρῶτον τὸ *Εὐαγγελίζου γῆ χαρὰν μεγάλην* ἅπαξ, εἶτα *Τὴν Ἀνάστασίν σου Χριστὲ Σωτὴρ*, ἐπαναλαμβάνοντες τοῦτο ἕως οὗ φθάσωσιν εἰς τὴν διωρισμένην ἐξέδραν, καὶ εὐθὺς ὁ Διάκονος *Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι*, καὶ ἀναγινώσκεται παρὰ τοῦ Πατριάρχου τὸ Εὐαγγέλιον *Ὀψὲ Σαββάτων*, μέχρι τοῦ *κἀκεῖ με ὄψονται*· ἐκεῖθεν ὁ ἀναγινώσκων μεταβαίνει εἰς τὸ *Οἱ δὲ ἕνδεκα μαθηταὶ* μέχρι τέλους· εἶτα ἐκφωνεῖ *Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ*, καὶ ψάλλει τὸ *Χριστὸς ἀνέστη γ'*, εἶτα καὶ οἱ Χοροὶ, καὶ ἐπὶ τέλους τὸ Ἀπολυτίκιον *Σήμερον τῆς σωτηρίας*, μετὰ δὲ τὴν Συναπτὴν εἰσερχόμενοι εἰς τὸν Ναὸν ψάλλομεν τὸν Κανόνα τῆς Ἀναστάσεως εἰς δ' καὶ τὸν τῆς ἑορτῆς εἰς δ'· ἐν ἑκάστῃ δὲ Ὠδῇ, ἡ Καταβασία τοῦ Πάσχα, τὸ *Χριστὸς ἀνέστη* τρὶς, τὸ *Ἀναστὰς ὁ Ἰησοῦς* καὶ ἡ Αἴτησις· ἀπὸ γ' Ὠδῆς ἡ Ὑπακοὴ *Προλαβοῦσαι τὸν ὄρθρον*, καὶ τὸ Κοντάκιον καὶ ὁ Οἶκος τοῦ Πάσχα· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τῆς ἑορτῆς, καὶ εὐθὺς τὸ Προκείμενον *Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον τῆς ἑορτῆς τὸ τῆς Λειτουργίας, τὸ *Ἀνάστασιν Χριστοῦ* ἐκ τρίτου, ὡς εἴθισται, καὶ ἅμα Δόξα *Ταῖς τῆς Θεοτόκου*, Καὶ νῦν τὸ αὐτὸ, ὁ Στίχος εἰς ἦχον δ' *Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας*, καὶ τὸ Ἰδιόμελον *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, τὸ *Σῶσον ὁ Θεὸς τὸν λαόν σου*, τὸ *Κύριε ἐλέησον* ιβ', *Ἔλεει καὶ οἰκτιρμοῖς* καὶ ψάλλονται αἱ λοιπαὶ τῶν Κανόνων Ὠδαὶ μέχρις η' Ὠδῆς, εἶτα *Τὴν Θεοτόκον* καὶ ψάλλεται ἡ Θ' Ὠδὴ ἀμφοτέρων τῶν Κανόνων μετὰ τῶν Μεγαλυναρίων αὐτῶν, ἡ Καταβασία *Ὁ Ἄγγελος ἐβόα. . . Φωτίζου φωτίζου*, τὸ *Χριστὸς ἀνέστη* κτλ. καὶ ἡ Αἴτησις. Ἐξαποστειλάρια τοῦ Πάσχα *Σαρκὶ ὑπνώσας*, τὸ τῆς ἑορτῆς *Ἀγγελικῶν δυνάμεων*, καὶ αὖθις τὸ τοῦ Πάσχα. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ', τῆς ἑορτῆς δ' ξ καὶ τὰ *Πάσχα ἱερὸν* μετὰ τῶν Στίχων αὐτῶν, Δόξα *Τὸ ἀπ' αἰῶνος μυστήριον*, Καὶ νῦν *Ἀναστάσεως ἡμέρα*, τὸ *Χριστὸς ἀνέστη* ἐκ τρίτου, καὶ ἄρχεται ἡ Λειτουργία.

72. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τοῦ Πάσχα· εἰς τὸ β' Ἀντίφωνον *Ὁ ἀναστὰς ἐκ νεκρῶν*, τὸ Εἰσοδικὸν *Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας, Σῶσον ἡμᾶς. . . ὁ ἀναστὰς ἐκ νεκρῶν*, τὸ Ἀπολυτίκιον *Σήμερον τῆς σωτηρίας*, ἡ Ὑπακοὴ *Προλαβοῦσαι τὸν ὄρθρον*, τὸ Κοντάκιον *Εἰ καὶ ἐν τάφῳ*, τὸ *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε*, Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Πάσχα. Εἰς τὸ Ἐξαιρέτως *Ὁ Ἄγγελος ἐβόα τῇ κεχαριτωμένῃ. . . Φωτίζου φωτίζου*[4], Κοινωνικὸν *Σῶμα Χριστοῦ*. Εἰς τὸ *Μετὰ φόβου Θεοῦ*, τὸ *Χριστὸς ἀνέστη*· ἀντὶ τοῦ *Εἴη τὸ ὄνομα Κυρίου* τὸ *Χριστὸς ἀνέστη* τρὶς χύμα, ἡ Κατήχησις τοῦ Χρυσοστόμου, τὸ Ἀπολυτίκιον αὐτοῦ καὶ Ἀπόλυσις.

Σημ. Κατὰ τὸ ,αωιζ' ἐπὶ τῶν ἡμερῶν τοῦ ἀοιδίμου Πατριάρχου Κωνσταντινουπόλεως Κυροῦ Κυρίλλου, συνέπετεν ὁ Εὐαγγελισμὸς τὴν ἡμέραν τοῦ Πάσχα καὶ ἐψάλη ἡ Ἀναστάσιμος Ἀκολουθία μετὰ τὰς τοῦ Εὐαγγελισμοῦ, ἀπαραλλάκτως κατὰ τὴν ἀνωτέρω διατύπωσιν, ἥτις καὶ ἔκτοτε ἐκανονίσθη.

ΚΔ'.

73. Εἰ τύχοι ἡ ἑορτὴ τῇ Δευτέρᾳ τῆς Διακαινησίμου, τῇ Μ. Κυριακῇ ἐν τῷ Ἑσπερινῷ, μετὰ τὸ *Δόξα τῷ ἁγίᾳ καὶ ὁμοουσίῳ*, τὸ *Χριστὸς ἀνέστη* μετὰ τῶν Στίχων αὐτοῦ καὶ τὴν Μ. Συναπτήν. Εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ *Τὸν πρὸ αἰώνων ἐκ πατρὸς δ'* καὶ τῆς ἑορτῆς Προσόμοια δ', Δόξα Καὶ νῦν *Ἀπεστάλη ἐξ οὐρανοῦ*, Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον *Τίς Θεὸς μέγας* μετὰ τῶν Στίχων αὐτοῦ, καὶ τὰ Ἀναγνώσματα τῆς ἑορτῆς, καὶ εὐθὺς ὁ Ἀρχιερεὺς (ἢ ὁ Ἱερεὺς) *Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι*, καὶ ἀναγινώσκεται τὸ Εὐαγγέλιον *Οὔσης ὀψίας* κατὰ τὸ ἔθος· μετὰ τὸ τέλος ἡ Ἐκτενὴς, τὸ *Καταξίωσον, Πληρώσωμεν τὴν ἑσπερινὴν, Εἴη τὸ κράτος*, καὶ ψάλλεται τὸ ἀναστάσιμον Ἀπόστιχον *Ἡ Ἀνάστασίς σου Χριστὲ Σωτὴρ* καὶ τὰ Στιχηρὰ *Πάσχα ἱερὸν, Δόξα Σήμερον χαρᾶς εὐαγγέλια*, Καὶ νῦν *Ἀναστάσεως ἡμέρα*, τὸ *Χριστὸς ἀνέστη* ἐκ δευτέρου, καὶ τελευταῖον τὸ *Σήμερον τῆς σωτηρίας* ἅπαξ καὶ Ἀπόλυσις.

74. Τῇ Δευτέρᾳ τῆς Διακαινησίμου εἰς τὸν Ὄρθρον, μετὰ τὸ *Δόξα τῇ Ἁγίᾳ καὶ Ὁμοουσίῳ* καὶ τὸ *Χριστὸς ἀνέστη* ὡς χθὲς,

---

4. Τὸ Τυπικὸν τοῦ Κωνσταντίνου ἐσημείου τὸ Εὐαγγελίζου γῆ... Ὡς ἐμψύχῳ... Ἀλλ' ἡ Ἐπιτροπὴ ἐνέκρινε τὸ τοῦ Πάσχα, διότι αὕτη ἐστὶν ἡ ἑορτὴ τῶν ἑορτῶν καὶ ἡ μεγίστη πανήγυρις τῆς Ἐκκλησίας.

τὴν Μεγάλην Συναπτὴν, τὴν Ἐκφώνησιν, καὶ εὐθὺς τὸ Προκε μενον *Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον *Ἀναστᾶσα Μαριὰμ*, τὸ *Ἀνάστασιν Χριστοῦ* ἅπαξ, Δόξα *Ταῖς τῆς Θεοτόκου*, Καὶ νῦν τὸ αὐτὸ, ὁ Στίχος *Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας* εἰς ἦχον β΄ καὶ τὸ Ἰδιόμελον *Εὐαγγελίζεται ὁ Γαβριὴλ*, τὸ *Σῶσον ὁ Θεὸς τὸν λαόν σου*, τὸ Κύριε ἐλέησον ιβ΄ *Ἐλέει καὶ οἰκτιρμοῖς*, καὶ εὐθὺς ὁ Κανὼν τῆς Ἀναστάσεως καὶ ὁ τῆς ἑορτῆς, ὡς ἐσημειώθη ἐν § 71· ἀπὸ γ΄ Ὠδῆς τὸ Κοντάκιον καὶ ὁ Οἶκος τοῦ Πάσχα· ἀφ΄ ς΄ τὸ Κοντάκιον καὶ ὁ Οἶκος τῆς ἑορτῆς, τὸ Μηνολόγιον τῆς ἑορτῆς, τὸ *Ἀνάστασιν Χριστοῦ* ὡς σύνηθες ἐκ τρίτου, καὶ ἀκολούθως τὴν ζ΄ καὶ η΄ Ὠδὴν τῶν Κανόνων, τὴν θ΄, τὰ Ἐξαποστειλάρια, ὡς διετάχθησαν ἐν § 71. Εἰς τοὺς Αἴνους, τὰ ἀναστάσιμα *Πᾶσα πνοὴ καὶ πᾶσα Κτίσις* εἰς δ΄, τῆς ἑορτῆς δ΄, καὶ τὰ Στιχηρὰ *Πάσχα ἱερὸν* μετὰ τῶν Στίχων αὐτῶν, Δόξα *Τὸ ἀπ' αἰῶνος μυστήριον*, Καὶ νῦν *Ἀναστάσεως ἡμέρα*, τὸ *Χριστὸς ἀνέστη* ἐκ γ΄, καὶ ἄρχεται ἡ Λειτουργία.

75. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τοῦ Πάσχα καὶ τὸ Εἰσοδικὸν τῆς ἑορτῆς *Εὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας, Σῶσον ἡμᾶς . . . ὁ ἀναστὰς ἐκ νεκρῶν*, τὸ *Χριστὸς ἀνέστη*, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς, ἡ Ὑπακοὴ *Προλαβοῦσαι τὸν Ὄρθρον*, καὶ τὸ Κοντάκιον *Εἰ καὶ ἐν τάφῳ· Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε*, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον τῆς ἑορτῆς. Εἰς τὸ Ἐξαιρέτως *Εὐαγγελίζου γῆ . . . Ὡς ἐμψύχῳ Θεοῦ Κιβωτῷ*, Κοινωνικὸν τῆς ἑορτῆς, τὸ *Χριστὸς ἀνέστη* καὶ Ἀπόλυτις.

76. Τὸ ἑσπέρας, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ τοῦ γ΄ ἤχου δ΄, καὶ ς΄ τῆς ἑορτῆς. Δόξα Καὶ νῦν *Ἀπεστάλη ἐξ οὐρανοῦ*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον *Ὁ Θεὸς ἡμῶν ἐν τῷ Οὐρανῷ καὶ ἐν τῇ γῇ*. Εἰς τὰ Ἀπόστιχα, τὸ Ἀναστάσιμον *Ὁ τῷ πάθει σου Χριστὲ*, καὶ τὰ Στιχηρὰ *Πάσχα ἱερὸν*, Δόξα *Σήμερον χαρᾶς εὐαγγέλια*, Καὶ νῦν *Ἀναστάσεως ἡμέρα*, τὸ *Χριστὸς ἀνέστη* ἐκ δευτέρου, τὸ *Σήμερον τῆς σωτηρίας* ἅπαξ, Ἀπόλυσις καὶ Ἀπόδοσις. Τὸ πρωῒ ἡ ἀναστάσιμος Ἀκολουθία τῆς ἡμέρας ψάλλεται μόνη, ὡς ἐστι διατεταγμένη ἐν τῷ Πεντηκοσταρίῳ.

Ἡ ἐν τοῖς § 73, 74, 75 καὶ 76 διάταξις τῆς Ἀκολουθίας τῆς

ἑορτῆς τηρεῖται καὶ ὅταν ἡ ἑορτὴ τύχῃ τῇ Τρίτῃ ἢ τῇ Τετάρτῃ τῆς Διακαινησίμου· ἐξαιρεῖται δὲ μόνον τὸ ἐν τῷ Ἑσπερινῷ τοῦ Πάσχα ἀναγινωσκόμενον Εὐαγγέλιον.

Σημειωτέον ὅτι ἡ ἑορτὴ τοῦ Εὐαγγελισμοῦ δυνατὸν νὰ συμπέσῃ ἐν τῷ Τριῳδίῳ ἀπὸ τῆς Παρασκευῆς τῆς Γ΄ ἑβδομάδος τῶν Νηστειῶν καὶ ἐντεῦθεν, ἐν δὲ τῷ Πεντηκοσταρίῳ μέχρι τῆς Τετάρτης τῆς Διακαινησίμου. (Ὅρα τὸν τοῦ Ἑορτοδρομίου Πίνακα).

ΜΗΝ ΑΠΡΙΛΙΟΣ

Τῇ ΚΓ΄—Τοῦ ἁγίου ἐνδόξου μεγαλομάρτυρος Γεωργίου τοῦ Τροπαιοφόρου.

ΠΕΡΙΠΤΩΣΕΙΣ

Α΄.

1. Εἰ τύχοι ἡ μνήμη τοῦ Ἁγίου τῷ Μ. Σαββάτῳ ἢ τῇ Μ. Κυριακῇ, ἡ Ἀκολουθία αὐτοῦ μετατίθεται καὶ ψάλλεται τῇ Δευτέρᾳ τῆς Διακαινησίμου μετὰ τῆς ἀναστασίμου Ἀκολουθίας ὡς ἐξῆς.

Τῇ Κυριακῇ τοῦ Πάσχα ἐν τῷ Ἑσπερινῷ, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ *Τὸν πρὸ αἰώνων ἐκ Πατρὸς* δ΄ καὶ τοῦ Ἁγίου Προσόμοια δ΄, Δόξα *Ἀξίως τοῦ ὀνόματος*, Καὶ νῦν *Παρῆλθεν ἡ σκιὰ*, Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον *Τίς Θεὸς μέγας μετὰ τῶν Στίχων αὐτοῦ*, καὶ εὐθὺς τὸ Εὐαγγέλιον ὡς εἴθισται. Εἰς τὰ Ἀπόστιχα, τὸ ἀναστάσιμον Στιχηρὸν, ἀπὸ τοῦ β΄ Χοροῦ *Ἡ Ἀνάστασίς σου Χριστὲ Σωτὴρ*, καὶ τὰ Στιχηρὰ *Πάσχα ἱερὸν*, Δόξα *Τὸν νοερὸν ἀδάμαντα*, Καὶ νῦν *Ἀναστάσεως ἡμέρα*, τὸ *Χριστὸς ἀνέστη* ἅπαξ, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, καὶ αὖθις τὸ *Χριστὸς ἀνέστη*, καὶ Ἀπόλυσις.

2. Τῇ Δευτέρᾳ τῆς Διακαινησίμου εἰς τὸν Ὄρθρον, ὡς σύνηθες, μετὰ τὴν Συναπτὴν οἱ Ἀναβαθμοὶ, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου, τὸ Προκείμενον *Δίκαιος ὡς ροῖτιξ ἀνθήσει*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον *Προσέχετε ἀπὸ τῶν ἀνθρώπων*, *Ἀνάστασιν Χριστοῦ* ἅπαξ, καὶ εὐθὺς Δόξα *Ταῖς τοῦ Ἀθλοφόρου*, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου*, Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Τοῦ μεγάλου Βασιλέως* (ζήτει εἰς τὴν Λιτήν)· *Σῶσον ὁ Θεὸς τὸν λαόν σου*, Κύριε ἐλέησον ιϐ΄, *Ἐλέει καὶ οἰκτιρμοῖς*, καὶ ὁ Κανὼν τοῦ Πάσχα καὶ ὁ τοῦ Ἁγίου ἀνὰ δ΄ μετὰ Στίχου εἰς μὲν τὸν Ἀναστάσιμον *Δόξα τῇ ἁγίᾳ Ἀναστάσει σου Κύριε*, εἰς δὲ τὸν τοῦ Ἁγίου *Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν*· ἐν τῷ τέλει ἑκάστης Ὠδῆς ἡ Καταβασία, τὸ *Χριστὸς ἀνέστη* τρὶς, *Ἀναστὰς ὁ Ἰησοῦς* ἅπαξ, καὶ ἡ Αἴτησις· ἀπὸ γ΄ Ὠδῆς ἡ Ὑπακοὴ τοῦ Πάσχα καὶ τὸ Κοντάκιον· ἀφ΄ ς΄ τὸ Κοντάκιον καὶ ὁ Οἶκος τοῦ Ἁγίου καὶ τὸ Μηνολόγιον, τὸ *Ἀνάστασιν Χριστοῦ* γ΄, καὶ τὸ *Ἀναστὰς ὁ Ἰησοῦς*· εἶτα μετὰ τὴν ζ΄ καὶ η΄ Ὠδὴν ψάλλεται ἡ θ΄ τοῦ Πάσχα μετὰ τῶν Μεγαλυναρίων καὶ ἡ τοῦ Ἁγίου, τὸ Ἐξαποστειλάριον τοῦ Πάσχα, τὸ τοῦ Ἁγίου *Ἔαρ ἡμῖν ἐξέλαμψεν*, αὖθις τὸ πρῶτον. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄, τοῦ Ἁγίου δ΄ καὶ τὰ Στιχηρὰ *Πάσχα ἱερὸν*, Δόξα *Ἀνέτειλε τὸ ἔαρ*, Καὶ νῦν *Ἀναστάσεως ἡμέρα*, τὸ *Χριστὸς ἀνέστη* τρὶς, καὶ ἄρχεται ἡ Λειτουργία.

3. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τοῦ Πάσχα, καὶ τὸ Εἰσοδικὸν *Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν*, τὸ *Χριστὸς ἀνέστη*, ἡ Ὑπακοὴ *Προλαβοῦσαι τὸν Ὄρθρον*, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου καὶ τὸ Κοντάκιον τοῦ Πάσχα, τὸ *Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε*, ὁ Ἀπόστολος τοῦ Ἁγίου καὶ τὸ Εὐαγγέλιον τῆς ἡμέρας *Θεὸν οὐδεὶς ἑώρακε πώποτε*. Εἰς τὸ Ἐξαιρέτως *Ὁ Ἄγγελος ἐβόα*, Κοινωνικὸν *Εἰς μνημόσυνον*[1], *Χριστὸς ἀνέστη*, καὶ Ἀπόλυσις.

Κατ' αὐτὸν τὸν τύπον ψάλλεται ἡ Ἀκολουθία τοῦ Ἁγίου, ὅταν συμπέσῃ ἡ μνήμη αὐτοῦ τῇ Τρίτῃ, Τετάρτῃ, Πέμπτῃ καὶ τῷ Σαββάτῳ τῆς Διακαινησίμου· ἐξαιρεῖται δὲ μόνον τὸ ἐν τῷ Ἑσπερινῷ τῆς Κυριακῆς τοῦ Πάσχα ἀναγινωσκόμενον Εὐαγγέλιον, ἀλλ' ἀναγινώσκονται ἐν τῷ Ἑσπερινῷ τὰ Ἀναγνώσματα τοῦ Ἁγίου.

1. *Ἔαρ ὁ Ναὸς τιμᾶται ἐπ' ὀνόματι τοῦ Ἁγίου.*

Β΄.

4. Εἰ τύχοι τῇ Παρασκευῇ τῆς Διακαινησίμου, τῇ Πέμπτῃ ἑσπέρας, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ γ΄, τῆς Θεοτόκου γ΄, καὶ δ΄ τοῦ Ἁγίου, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Τίς λαλήσει τὰς δυναστείας σου Πηγὴ*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον *Ἀγαπήσω σε Κύριε ἡ ἰσχύς μου* μετὰ τῶν Στίχων, καὶ τὰ Ἀναγνώσματα τοῦ Ἁγίου. Εἰς τὰ Ἀπόστιχα, τὸ ἀναστάσιμον Στιχηρὸν *Τὴν Ἀνάστασίν σου Χριστὲ Σωτὴρ*, καὶ τὰ γ΄ ἀπόστιχα Στιχηρὰ τῆς Θεοτόκου, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Ἀναστάσεως ἡμέρα*, τὸ *Χριστὸς ἀνέστη*, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, αὖθις *Χριστὸς ἀνέστη*, καὶ Ἀπόλυσις.

5. Τῇ Παρασκευῇ εἰς τὸν Ὄρθρον, ἡ Ἀκολουθία μέχρι τῶν Κανόνων ψάλλεται κατὰ τὴν ἐν § 2 διάταξιν, οἱ Κανόνες τοῦ Πάσχα, τοῦ Ἁγίου, καὶ οἱ τῆς Θεοτόκου μετὰ Στίχων, εἰς μὲν τὸν Ἀναστάσιμον *Δόξα τῇ Ἁγίᾳ Ἀναστάσει σου*, εἰς τὸν τοῦ Ἁγίου *Ἅγιε τοῦ Θεοῦ*, καὶ εἰς τὸν τῆς Θεοτόκου *Ὑπεραγία Θεοτόκε*· ἀπὸ γ΄ Ὠδῆς ἡ Ὑπακοὴ *Προλαβοῦσαι τὸν Ὄρθρον*, εἶτα τὸ Κάθισμα τοῦ Ἁγίου καὶ τὸ τῆς Θεοτόκου· ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τοῦ Ἁγίου, τὸ Μηνολόγιον, καὶ τὸ Ὑπόμνημα τῆς Θεοτόκου· μετὰ τὸ *Ἀνάστασιν Χριστοῦ* γ΄, μετὰ καὶ τὴν ζ΄ καὶ η΄ Ὠδὴν ψάλλεται ἡ θ΄ Ὠδὴ τοῦ Πάσχα μετὰ τῶν Μεγαλυναρίων, ὁ τοῦ Ἁγίου, καὶ ἡ τῆς Θεοτόκου μετὰ Στίχου *Ὑπεραγία Θεοτόκε*, τὰ Ἐξαποστειλάρια τοῦ Πάσχα, τοῦ Ἁγίου, καὶ τὸ τῆς Θεοτόκου. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα ϐ΄, τῆς Θεοτόκου γ΄, τοῦ Ἁγίου γ΄ καὶ τὰ *Πάσχα ἱερὸν*, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Ἀναστάσεως ἡμέρα*, καὶ τὸ *Χριστὸς ἀνέστη* γ΄.

6. Εἰς τὴν Λειτουργίαν, Ἀντίφωνα καὶ Εἰσοδικὸν τοῦ Πάσχα· μετὰ τὴν Εἴσοδον *Χριστὸς ἀνέστη*, ἡ Ὑπακοὴ, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, τὸ Κοντάκιον *Ἐξ ἀκενώτου σου πηγῆς* καὶ τὸ *Εἰ καὶ ἐν τάφῳ*, Ἀπόστολος τοῦ Ἁγίου, καὶ Εὐαγγέλιον τῆς ἡμέρας. Εἰς τὸ Ἐξαιρέτως *Ὁ Ἄγγελος ἐβόα*, Κοινωνικὸν *Εἰς μνημόσυνον*, *Χριστὸς ἀνέστη* καὶ Ἀπόλυσις.

Γ'.

7. Εἰ τύχοι τῇ Κυριακῇ τοῦ Θωμᾶ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸ *Χριστὸς ἀνέστη* τρὶς, ὁ Προοιμιακὸς καὶ τὸ Ψαλτήριον· εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τῆς ἑορτῆς Ἰδιόμελα ς' καὶ τοῦ Ἁγίου δ'. Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τῆς ἑορτῆς. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον *Ὁ Κύριος ἐβασίλευσεν* καὶ τὰ Ἀναγνώσματα τοῦ Ἁγίου· τὰ Ἀπόστιχα τῆς ἑορτῆς, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τῆς ἑορτῆς, Ἀπολυτίκιον τῆς ἑορτῆς, τὸ τοῦ Ἁγίου, αὖθις τὸ τῆς ἑορτῆς, καὶ Ἀπόλυσις.

8. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν, ἡ Λιτὴ τῆς ἑορτῆς καὶ ἡ τοῦ Ἁγίου, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τῆς ἑορτῆς, καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς, καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος· τὰ Καθίσματα τοῦ Ἁγίου, καὶ ἀνὰ ἓν τῆς ἑορτῆς ἀντὶ Θεοτοκίων· οἱ Ἀναβαθμοὶ, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου, τὸ Προκείμενον *Ἐπαίνει Ἰερουσαλὴμ τὸν Κύριον*, καὶ εὐθὺς ὁ Κανὼν τῆς ἑορτῆς ἄνευ Στίχου, καὶ ὁ τοῦ Ἁγίου μετὰ Στίχου *Ἅγιε τοῦ Θεοῦ*· ἀπὸ γ' Ὠδῆς ἡ Ὑπακοὴ *Ὡς ἐν μέσῳ τῶν μαθητῶν σου*, τὸ Κοντάκιον καὶ ὁ Οἶκος τοῦ Ἁγίου χύμα· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τῆς ἑορτῆς, τὸ Μηνολόγιον, καὶ τὸ Ὑπόμνημα τῆς ἑορτῆς. Αἱ Καταβασίαι τοῦ Πάσχα, καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, εἶτα ψάλλεται ἡ θ' τῆς ἑορτῆς, ὡς καὶ τοῦ Ἁγίου ἀνὰ δ', τὸ *Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν* δὶς, *Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν* κτλ. καὶ τὸ Ἐξαποστειλάριον *Ἐμῶν μελῶν χειρί σου*, τὸ τοῦ Ἁγίου, καὶ τὸ ἕτερον τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, τῆς ἑορτῆς Προσόμοια γ' καὶ γ' τοῦ Ἁγίου, Δόξα *Ἀνέτειλε τὸ ἔαρ*, Καὶ νῦν *Μεθ' ἡμέρας ὀκτὼ*, Δοξολογία Μ. καὶ τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς.

9. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τοῦ Πάσχα καὶ τὸ Εἰσοδικὸν, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ τὸ τοῦ Ἁγίου· Κοντάκιον *Εἰ καὶ ἐν τάφῳ*· Ἀπόστολος τοῦ Ἁγίου, καὶ τὸ Εὐαγγέλιον *Οὔσης ὀψίας*. Εἰς τὸ Ἐξαιρέτως *Σὲ τὴν φαεινὴν λαμπάδα*, Κοινωνικὸν *Ἐπαίνει Ἰερουσαλὴμ*, τὸ *Χριστὸς Ἀνέστη*, καὶ Ἀπόλυτις.

Δ'.

10. Εἰ τύχοι τῇ Δευτέρᾳ τῆς τοῦ Θωμᾶ ἑβδομάδος, τῇ Κυριακῇ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Προσόμοια τῆς σειρᾶς δ' καὶ ς' τοῦ Ἁγίου, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Τῶν θυρῶν κεκλεισμένων*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον *Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ* μετὰ τῶν Στίχων αὐτοῦ, καὶ τὰ Ἀναγνώσματα τοῦ Ἁγίου. Εἰς τὰ Ἀπόστιχα, τὰ τοῦ Ἁγίου Προσόμοια, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Ὦ τοῦ παραδόξου θαύματος* (ζήτει εἰς τὰ Ἀπόστιχα τῆς ἑορτῆς), τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, τὸ τῆς ἑορτῆς καὶ Ἀπόλυσις.

11. Τῇ Δευτέρᾳ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ἡ Λιτὴ τοῦ Ἁγίου καὶ τὸ Δόξα Καὶ νῦν τῆς ἑορτῆς, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου δὶς καὶ τὸ τῆς ἑορτῆς ἅπαξ, τὸ Ψαλτήριον τῆς ἡμέρας καὶ ὁ Πολυέλεος τοῦ Ἁγίου, Καθίσματα τοῦ Ἁγίου, καὶ ἀνὰ ἓν τῆς ἑορτῆς ἀντὶ Θεοτοκίων, οἱ Ἀναβαθμοὶ, τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου, τὸ Προκείμενον *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου τοῦ Ἁγίου, τὸ *Ἀνάστασιν Χριστοῦ θεασάμενοι*, καὶ ὁ Ν' ψαλμὸς χύμα, Δόξα *Ταῖς τοῦ Ἀθλοφόρου*, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου*, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς*, καὶ τὸ Ἰδιόμελον *Σήμερον ἡ οἰκουμένη πᾶσα*, ὁ Κανὼν τῆς ἑορτῆς καὶ ὁ τοῦ Ἁγίου· ἀπὸ γ' Ὠδῆς Κάθισμα τοῦ Ἁγίου καὶ τῆς ἑορτῆς, ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Ἁγίου καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι τοῦ Πάσχα· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, ἡ Καταβασία *Ὁ Ἄγγελος ἐβόα*, Ἐξαποστειλάριον τοῦ Ἁγίου καὶ τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, τὰ δ' τοῦ Ἁγίου Προσόμοια, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τῆς ἑορτῆς, Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου.

12. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τοῦ Πάσχα καὶ τὸ Εἰσοδικὸν, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς, τὸ τοῦ Ἁγίου, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Τῇ φιλοπράγμονι δεξιᾷ*, Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Ἁγίου. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνι-

κὸν *Εἰς μνημόσυνον*, *Χριστὸς ἀνέστη*, *Εἴη τὸ ὄνομα Κυρίου* καὶ Ἀπόλυσις[2].

Ε΄.

13. Εἰ τύχοι τῷ Σαββάτῳ τῆς Ἀποδόσεως τῆς ἑορτῆς, τῇ Παρασκευῇ ἑσπέρας εἰς τὸ *Κύριε ἐκέκραξα*, τῆς ἑορτῆς Ἰδιόμελα δ΄ καὶ τοῦ Ἁγίου δ΄, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τῆς ἑορτῆς, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τοῦ Ἁγίου. Εἰς τὰ Ἀπόστιχα, τὰ γ΄ Ἰδιόμελα τῆς ἑορτῆς, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τῆς ἑορτῆς, Ἀπολυτίκιον τῆς ἑορτῆς, τοῦ Ἁγίου, αὖθις τὸ τῆς ἑορτῆς καὶ Ἀπόλυσις.

14. Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ἡ Λιτὴ τοῦ Ἁγίου, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν ἐκ τῆς ἑορτῆς, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον τῆς ἡμέρας, καὶ ὁ Πολυέλεος τοῦ Ἁγίου κτλ. ὡς ἐν περιπτώσει Δ΄ ᾠ 11, αἱ Καταβασίαι τοῦ Πάσχα, καὶ ψάλλεται ἡ θ΄ τῆς ἑορτῆς ὡς καὶ τοῦ Ἁγίου, ἡ Καταβασία *Ὁ Ἄγγελος ἐβόα*, Ἐξαποστειλάρια τὸ α΄ τῆς ἑορτῆς, τὸ τοῦ Ἁγίου, καὶ τὸ ἕτερον τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, Προσόμοια τῆς ἑορτῆς γ΄, καὶ γ΄ τοῦ Ἁγίου. Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Μεθ' ἡμέρας ὀκτὼ*, Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς.

15. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τοῦ Πάσχα καὶ τὸ Εἰσοδικὸν, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς, τὸ τοῦ Ἁγίου, τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Τῇ φιλοπράγμονι δεξιᾷ*, Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Ἁγίου. Εἰς τὸ Ἐξαιρέτως *Σὲ τὴν φαεινὴν λαμπάδα*, Κοινωνικὸν τῆς ἑορτῆς *Χριστὸς ἀνέστη*, *Εἴη τὸ ὄνομα Κυρίου*, Ἀπόλυσις καὶ Ἀπόδοσις τῆς ἑορτῆς.

---

2. *Κατ' αὐτὸν τὸν τύπον ψάλλεται ἡ Ἀκολουθία τοῦ Ἁγίου καὶ ἐν ταῖς λοιπαῖς τῆς ἑβδομάδος ταύτης ἡμέραις μέχρι τῆς Παρασκευῆς, πλὴν τοῦ ὅτι ἐν αὐταῖς στιχολογεῖται ἡ α΄ Στάσις τοῦ Ψαλτηρίου· εἰς τὸ* Κύριε ἐκέκραξα *μόνον τὰ ς΄ Στιχηρὰ τοῦ Ἁγίου καὶ τὰ Προκείμενα ἑκάστης ἡμέρας.*

ϛ΄.

16. Εἰ τύχοι τῇ Κυριακῇ τῶν Μυροφόρων, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Ἀναστάσιμα δ΄, τῶν Μυροφόρων δ΄ καὶ τοῦ Ἁγίου δ΄, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τῶν Μυροφόρων, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον, καὶ τὰ Ἀναγνώσματα τοῦ Ἁγίου. Εἰς τὰ Ἀπόστιχα, τὸ ἀναστάσιμον Στιχηρὸν, καὶ τὰ *Πάσχα ἱερὸν*, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Σὲ τὸν ἀναβαλλόμενον τὸ φῶς*, τὰ Ἀπολυτίκια *Ὅτε κατῆλθες πρὸς τὸν θάνατον*, *Ὁ εὐσχήμων Ἰωσὴφ*, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Ταῖς Μυροφόροις γυναιξὶ* καὶ Ἀπόλυσις.

17. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς Κανὼν, ἡ Λιτὴ τῶν Μυροφόρων καὶ ἡ τοῦ Ἁγίου, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Ἠτήσατο Ἰωσὴφ* καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, τὸ Τρισάγιον, τὸ *Ὅτε κατῆλθες*, καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον τῆς ἡμέρας, καὶ ὁ Πολυέλεος τοῦ Ἁγίου, Καθίσματα εἰς τὴν α΄ Στιχολογίαν τῶν Μυροφόρων *Τὸν λίθον τοῦ μνήματος*, Δόξα τοῦ Ἁγίου *Ἀνέτειλεν ἰδοὺ*, Καὶ νῦν *Πάντα ὑπὲρ ἔννοιαν*· εἰς τὴν β΄ Στιχολογίαν *Αἱ Μυροφόροι ὄρθριαι*, Δόξα *Πόθῳ ζέοντι*, Καὶ νῦν *Τὰ μῦρα τῆς ταφῆς*· εἰς τὴν γ΄ Στιχολογίαν *Γεωργήσας ἐμμελῶς*, Καὶ νῦν *Ὑπερδεδοξασμένη*, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ τοῦ Πάσχα, ὁ τοῦ Ἁγίου, καὶ τὰ δύο Θεοτοκία· ἀπὸ γ΄ Ὠδῆς τὸ Κοντάκιον καὶ ὁ Οἶκος τοῦ Ἁγίου, εἶτα τὸ Κάθισμα τοῦ Ἁγίου καὶ τῶν Μυροφόρων· ἀφ' ς΄ Κοντάκιον καὶ Οἶκος τῶν Μυροφόρων, τὸ Μηνολόγιον καὶ τὸ Ὑπόμνημα τῆς Κυριακῆς, αἱ Καταβασίαι τοῦ Πάσχα, καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, εἶτα ἡ θ΄ τοῦ Πάσχα, ὡς καὶ τοῦ Ἁγίου, εἶτα τὰ β΄ Θεοτοκία ὡς σύνηθες, Ἐξαποστειλάρια, τὸ τοῦ Πάσχα, τοῦ Ἁγίου καὶ τῶν Μυροφόρων. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα γ΄, τοῦ Ἁγίου γ΄, καὶ τὰ *Πάσχα ἱερὸν*, Δόξα *Ἀνέτειλε τὸ ἔαρ*, Καὶ νῦν *Ἀναστάσεως ἡμέρα*, Δοξολογία Μεγάλη, καὶ τὸ *Σήμερον σωτηρία*.

18. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τοῦ Πάσχα καὶ τὸ Εἰσοδικόν· μετὰ τὴν Εἴσοδον, τὰ γ΄ Ἀπολυτίκια, τῶν Μυροφόρων, τὸ τοῦ Ἁγίου, καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ· Κοντάκιον *Εἰ καὶ ἐν τάφῳ*,

ὁ Ἀπόστολος τοῦ Ἁγίου καὶ τὸ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Ὁ Ἄγγελος ἐβόα*, Κοινωνικὸν *Σῶμα Χριστοῦ, Χριστὸς ἀνέστη, Εἴη τὸ ὄνομα Κυρίου*, καὶ Ἀπόλυσις.

Ζ΄.

19. Εἰ τύχοι ἐντὸς τῆς ἑβδομάδος ταύτης μέχρι τῆς Παρασκευῆς, ἡ Ἀκολουθία ψάλλεται κατὰ τὴν τοῦ Μηναίου διάταξιν, μετὰ τῶν μεθεόρτων τῶν Μυροφόρων, ἤτοι ἐν τῷ Ἑσπερινῷ, εἰς τὸ *Κύριε ἐκέκραξα* Προσόμοια τοῦ Ἁγίου ς΄, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τῶν Μυροφόρων. Εἰς τὰ Ἀπόστιχα, τὰ τοῦ Ἁγίου Προσόμοια, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τῶν Μυροφόρων, Ἀπολυτίκια *Ὅτε κατῆλθες*, τὸ τοῦ Ἁγίου, καὶ τὸ *Ταῖς Μυροφόροις γυναιξὶ*, καὶ Ἀπόλυσις.

20. Εἰς τὸν Ὄρθρον, ἡ Λιτὴ τοῦ Ἁγίου, καὶ τὸ Δόξα Καὶ νῦν *Ἠτήσατο Ἰωσὴφ* κτλ. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν, τὸ Ψαλτήριον, ὁ Πολυέλεος, τὰ Καθίσματα τοῦ Ἁγίου καὶ ἀνὰ ἓν τῶν Μυροφόρων ἀντὶ Θεοτοκίων κτλ. ὁ Κανὼν τοῦ Πάσχα[3] καὶ ὁ τοῦ Ἁγίου, αἱ Καταβασίαι τοῦ Πάσχα, *Τὴν τιμιωτέραν*[4], τὸ Ἐξαποστειλάριον τοῦ Ἁγίου καὶ τῶν Μυροφόρων. Εἰς τοὺς Αἴνους, τὰ Προσόμοια τοῦ Ἁγίου, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τῶν Μυροφόρων, Δοξολογία Μεγάλη, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, καὶ καθεξῆς ἡ Λειτουργία ἐν ᾗ ψάλλονται τὰ Ἀντίφωνα τοῦ Πάσχα, καὶ τὸ Εἰσοδικὸν, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν,

3. *Ἡ ἀκριβὴς τάξις ἀπῄτει καιρόν τῆς προλαβούσης Κυριακῆς· ἀλλ' ἡ φαιδρότης τῆς ἑορτῆς τοῦ ἁγίου Γεωργίου καθιέρωσεν ἤδη ἀπὸ χρόνων τὸν τοῦ Πάσχα.*

4. *Μετὰ τὴν Διακαινήσιμον ἑβδομάδα εἰς οἱανδήποτε ἡμέραν ἤθελε τύχει ἡ ἑορτὴ τοῦ Ἁγίου (ἐκτὸς δηλονότι τῶν Κυριακῶν) μετὰ τὰ Δοξαστικὰ, Καὶ νῦν ψάλλονται τῆς προλαβούσης Κυριακῆς ἡ ἑορτῆς, καὶ οὐχὶ τοῦ Πάσχα, ὡς καὶ τὰ Ἀπολυτίκια, τὰ Ἐξαποστειλάρια (καὶ τὰ Κοντάκια, μόνον διὰ τὴν ἑβδομάδα τοῦ Θωμᾶ καὶ τῶν Μυροφόρων), στιχολογοῦμεν δὲ καὶ* **Τὴν τιμιωτέραν** *ἐν τῷ Ὄρθρῳ, καὶ εἰς τὸ Ἐξαιρέτως τὸ* **Ἄξιόν ἐστιν**· *τὰ αὐτὰ καὶ εἰς τὰς τῶν λοιπῶν Ἁγίων μνήμας μέχρι τῆς Ἀποδόσεως (Ὅρα καὶ ἐν τῇ Προθεωρίᾳ).*

Κοντάκιον *Εἰ καὶ ἐν τάφῳ*, Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Ἁγίου. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Εἰς μνημόσυνον, Χριστὸς ἀνέστη, Εἴη τὸ ὄνομα Κυρίου* καὶ Ἀπόλυσις.

Η΄.

21. Εἰ τύχοι τῷ Σαββάτῳ τῆς αὐτῆς ἑβδομάδος, τῇ Παρασκευῇ ἑσπέρας, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλονται τῶν Μυροφόρων Ἰδιόμελα ϛ΄ καὶ τὰ ς΄ Προσόμοια τοῦ Ἁγίου, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Αἱ μυροφόροι γυναῖκες*. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τοῦ Ἁγίου, τὰ Ἀπόστιχα τοῦ Ἁγίου, Δόξα *Τὸν ποιητὴν ἁμάρτια*, Καὶ νῦν *Σὲ τὸν ἀναβαλλόμενον τὸ φῶς*, τὰ Ἀπολυτίκια *Ὅτε κατῆλθες*, *Ὁ εὐσχήμων Ἰωσὴφ*, Δόξα *Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτὴς*, Καὶ νῦν *Ταῖς μυροφόροις γυναιξὶ* καὶ Ἀπόλυσις.

22. Τῷ Σαββάτῳ εἰς τὸν Ὄρθρον, ἡ Λιτὴ τοῦ Ἁγίου καὶ τὸ Δόξα Καὶ νῦν *Ἠτήσατο Ἰωσὴφ*, τὸ Τρισάγιον, τὸ *Ὅτε κατῆλθες*, καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον, καὶ ὁ Πολυέλεος, τὰ Καθίσματα τοῦ Ἁγίου καὶ ἀνὰ ἓν τῶν Μυροφόρων ἀντὶ Θεοτοκίων κτλ. ὡς ἐν περιπτώσει Δ΄ § 11· αἱ Καταβασίαι τοῦ Πάσχα, εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, τὸ Ἐξαποστειλάριον τοῦ Ἁγίου, καὶ τῶν Μυροφόρων. Εἰς τοὺς Αἴνους, ἀναστάσιμα Στιχηρὰ ϛ΄, τὸ *Πᾶσα πνοὴ καὶ πᾶσα κτίσις* καὶ τὸ *Εἰπάτωσαν Ἰουδαῖοι*, καὶ δ΄ Προσόμοια τοῦ Ἁγίου. Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Μετὰ φόβου ἦλθον γυναῖκες* (ζήτει τῇ Τρίτῃ εἰς τὰ Ἀπόστιχα). Δοξολογία Μ. τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, καὶ καθεξῆς ἡ Λειτουργία, ἐν ᾗ ψάλλομεν τὰ Ἀντίφωνα τοῦ Πάσχα καὶ τὸ Εἰσοδικόν. Μετὰ τὴν Εἴσοδον, τὰ Ἀπολυτίκια τῶν Μυροφόρων, τὸ τοῦ Ἁγίου, καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ, Κοντάκιον *Τὸ χαῖρε ταῖς Μυροφόροις*· Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Ἁγίου. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*. Κοινωνικὸν *Εἰς μνημόσυνον, Χριστὸς ἀνέστη, Εἴη τὸ ὄνομα Κυρίου*, Ἀπόλυσις, καὶ Ἀπόδοσις τῆς ἑορτῆς τῶν Μυροφόρων[5].

5. *Κατὰ τὸν αὐτὸν τύπον ψάλλεται ἡ Ἀκολουθία τοῦ Ἁγίου ὅταν τύχῃ καὶ τῷ Σαββάτῳ τῆς Δ΄ καὶ τῆς Ε΄ ἑβδομάδος.*

Θ'.

23. Εἰ τύχοι τῇ Κυριακῇ τοῦ Παραλύτου, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἀναστάσιμα Στιχηρὰ δ', τοῦ Παραλύτου δ' καὶ τοῦ Ἁγίου δ', Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Ἀνέβη ὁ Ἰησοῦς εἰς Ἱεροσόλυμα*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον καὶ τὰ Ἀναγνώσματα τοῦ Ἁγίου. Εἰς τὰ Ἀπόστιχα, τὸ *Ὁ τῷ πάθει σου Χριστὲ* καὶ τὰ Στιχηρὰ *Πάσχα ἱερόν*. Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Ἐν τῇ στοᾷ τοῦ Σολομῶντος*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Ἁγίου, τὸ Θεοτοκίον, καὶ Ἀπόλυσις.

24. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν, καὶ ἡ Λιτὴ τοῦ Ἁγίου, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Ἐπὶ τῇ Προβατικῇ κολυμβήθρᾳ*, καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ Καθίσματα εἰς τὴν α' Στιχολογίαν *Χριστὸς ἐκ νεκρῶν ἐγήγερται*· Δόξα *Ἀνέτειλεν ἰδού*, Καὶ νῦν *Τὴν ὡραιότητα*· εἰς τὴν δ' Στιχολογίαν *Πάντα ἀνθρώπινα*, Δόξα *Πόθῳ ζέοντι*, Καὶ νῦν *Τὸ ἀκατάληπτον*, εἰς τὴν γ' Στιχολογίαν *Γεωργήσας ἐμμελῶς*, Καὶ νῦν *Τὰ ἐπουράνια*, εἶτα τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον κτλ. ὡς διετάχθησαν ἐν τῇ Κυριακῇ τῶν Μυροφόρων (περιπτώσει ς' § 17). Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα γ', τοῦ Ἁγίου γ' καὶ τὰ *Πάσχα ἱερόν*, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν *Κύριε τὸν Παράλυτον*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

25. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τοῦ Πάσχα καὶ τὸ Εἰσοδικόν. Μετὰ τὴν Εἴσοδον τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Ἁγίου, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Εἰ καὶ ἐν τάφῳ*, Ἀπόστολος τοῦ Ἁγίου καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως, *Ὁ Ἄγγελος ἐβόα*, Κοινωνικὸν *Σῶμα Χριστοῦ*, *Χριστὸς ἀνέστη*, *Εἴη τὸ ὄνομα Κυρίου* καὶ Ἀπόλυσις.

Ι'.

26. Εἰ τύχοι τῇ Δευτέρᾳ καὶ τῇ Τρίτῃ τῆς ἑβδομάδος ταύτης,

ἡ Ἀκολουθία τοῦ Ἁγίου ψάλλεται κατὰ τὴν τοῦ Μηναίου διάταξιν μετὰ τῶν μεθεόρτων τῆς Κυριακῆς τοῦ Παραλύτου (ὡς ἐν περιπτώσει Ζ' § 19—20). Ἀπολυτίκιον τοῦ Ἁγίου, καὶ Δόξα Καὶ νῦν τὸ *Εὐφραινέσθω τὰ οὐράνια*.

ΙΑ'.

27. Εἰ τύχοι τῇ Τετάρτῃ τῆς Μεσοπεντηκοστῆς, τῇ Τρίτῃ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὴν α' Στάσιν τοῦ Ψαλτηρίου, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τῆς ἑορτῆς Προσόμοια δ' καὶ δ' τοῦ Ἁγίου, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τῆς ἑορτῆς, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας, τὰ Ἀναγνώσματα δ' τῆς ἑορτῆς καὶ ἓν τοῦ Ἁγίου. Εἰς τὰ Ἀπόστιχα, τὰ Ἰδιόμελα τῆς ἑορτῆς, Δόξα τοῦ Ἁγίου, Καὶ νῦν τῆς ἑορτῆς, Ἀπολυτίκιον τῆς ἑορτῆς, τὸ τοῦ Ἁγίου, αὖθις τὸ τῆς ἑορτῆς καὶ Ἀπόλυσις.

5. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν, καὶ τὰ Τριαδικὰ, *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ προεόρτιον Ἀπολυτίκιον, καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον δίς, καὶ τὸ προεόρτιον ἅπαξ, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον, Κανόνες, ὁ Ἀναστάσιμος καὶ ὁ προεόρτιος, οὗ ὁ Στίχος

Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι· ἀπὸ γ' Ὠδῆς Κάθισμα προεόρτιον *Ἐπεφάνη, ἤγγικεν ἅπαξ*· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα, καὶ τὸ Μηνολόγιον τῶν Ἁγίων τῆς ἡμέρας, αἱ Καταβασίαι *Χοροὶ Ἰσραὴλ*, καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, ἡ Καταβασία *Ὁ τόκος σου ἄφθορος*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, καὶ τὸ προεόρτιον ἅπαξ. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ' καὶ προεόρτια *Τῆς παναγίας ἐνδόξου Μεταμορφώσεως* εἰς δ'. Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

6. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ ἐκ τῆς ς' Ὠδῆς τοῦ προεορτίου Κανόνος δ'. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ προεόρτιον, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Ἐν τῇ θείᾳ σήμερον Μεταμορφώσει*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς*, καὶ Ἀπόλυσις.

Τῇ Ϛ' — Ἡ Μεταμόρφωσις τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ.

1. Εἰ τύχοι ἡ ἑορτὴ τῆς Μεταμορφώσεως ἐν Κυριακῇ, οὐδὲν τῶν Ἀναστασίμων ψάλλομεν, ἀλλ' ἅπαντα τὰ τῆς ἑορτῆς ὡς ἐξῆς· Τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ Ἰδιόμελα *Πρὸ τοῦ Σταυροῦ σου Κύριε* εἰς ς', Δόξα Καὶ νῦν *Προτυπῶν τὴν Ἀνάστασιν τὴν σὴν*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ γ' Ἰδιόμελα, Δόξα Καὶ νῦν *Πέτρῳ καὶ Ἰωάννῃ καὶ Ἰακώβῳ*, τὸ Ἀπολυτίκιον *Μετεμορφώθης ἐν τῷ Ὄρει ἐκ γ' καὶ* Ἀπόλυτις *Ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθεὶς ἐν δόξῃ ἐνώπιον τῶν ἁγίων αὐτοῦ Μαθητῶν καὶ Ἀποστόλων Χριστὸς ὁ ἀληθινὸς . . .*

2 Εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ἡ Λιτὴ τῆς ἑορτῆς, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον, καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ

Θεὸς Κύριος, τὸ Ἀπολυτίκιον ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος *Αἰνεῖτε τὸ ὄνομα Κυρίου*, τὰ Καθίσματα κατὰ σειρὰν ἐκ δευτέρου, οἱ Ἀναβαθμοὶ, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου, τὸ Προκείμενον *Θαβὼρ καὶ Ἑρμὼν ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον (*Ἀνάστασιν Χριστοῦ οὐ λέγομεν, ἀλλ' εὐθὺς ὁ Ν΄ ψαλμὸς χύμα*), Δόξα² *Ταῖς τῶν Ἀποστόλων*, Καὶ νῦν *Ταῖς τῆς Θεοτόκου*, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς*, καὶ τὸ Ἰδιόμελον *Ὁ φωτί σου ἄπασαν* (ζήτει εἰς τὴν Λιτήν). Εἶτα οἱ Κανόνες ἄνευ στίχων· ἀπὸ γ΄ Ὠδῆς τὸ Κάθισμα ἅπαξ· ἀφ' ς΄ Κοντάκιον καὶ Οἶκος τῆς ἑορτῆς καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Σταυρὸν χαράξας*, εἶτα ψάλλεται ἡ θ΄ Ὠδὴ καὶ τῶν δύο κανόνων, ἡ Καταβασία *Μυστικὸς εἶ, Θεοτόκε, παράδεισος*, τὸ Ἐξαποστειλάριον ἐκ γ΄. Εἰς τοὺς Αἴνους, τὰ γ΄ Προσόμοια εἰς δ΄. Δόξα Καὶ νῦν *Παρέλαβεν ὁ Χριστὸς*, Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον.

3. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα.

Ἀντίφωνον Α΄.

Μέγας Κύριος καὶ αἰνετὸς σφόδρα ἐν πόλει τοῦ Θεοῦ ἡμῶν.
Ἑτοιμάζων ὄρη ἐν τῇ ἰσχύϊ αὐτοῦ.
Ὁ ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.
Τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προσώπου Κυρίου.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἀντίφωνον Β΄.

Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις.
Ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.

Σῶσον ἡμᾶς... ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς.

---

2. *Ἐν τῷ Ἁγιορειτικῷ Τυπικῷ ἀντὶ* **Ταῖς τῶν Ἀποστόλων** *σημειοῦται τὸ ἀκόλουθον, Δόξα* **Τὰ σύμπαντα σήμερον χαρᾶς πληροῦνται, Χριστοῦ ὀφθέντος ἐν Θαβωρίῳ**, *Καὶ νῦν τὸ αὐτὸ, ὅπερ φαίνεται προελθὸν ἐξ ἀπομιμήσεως τῶν ἑορτῶν Χριστουγέννων καὶ Θεοφανείων.*

Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ.
Μήτηρ Σιὼν, ἐρεῖ ἄνθρωπος· καὶ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ.

Σῶσον ἡμᾶς... ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς.

Δόξα Καὶ νῦν *Ὁ μονογενὴς Υἱὸς, καὶ Λόγος τοῦ Θεοῦ.*

Ἀντίφωνον Γ΄.

Τὰ ἐλέη σου, Κύριε, εἰς τὸν αἰῶνα ᾄσομαι.
Ἐξομολογήσονται οἱ οὐρανοὶ τὰ θαυμάσιά σου, Κύριε.
Μακάριος ὁ λαὸς ὁ γινώσκων ἀλαλαγμόν.
Κύριε, ἐν τῷ φωτὶ τοῦ προσώπου σου πορεύσονται, καὶ ἐν τῷ ὀνόματί σου ἀγαλλιάσονται ὅλην τὴν ἡμέραν.

Μετεμορφώθης ἐν τῷ ὄρει.

Εἰσοδικὸν *Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, Κύριε, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς . . . Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθεὶς . . .* τὸ Ἀπολυτίκιον καὶ τὸ Κοντάκιον τῆς ἑορτῆς, τὸ Τριτάγιον, ὁ Ἀπόστολος καὶ τὸ Εὐαγγέλιον. Εἰς τὸ Ἐξαιρέτως, τὸ *Νῦν τὰ ἀνήκουστα ἠκούσθη*³ (ζήτει ἐν τῇ ζ΄ Ὠδῇ), Κοινωνικὸν *Ἐν τῷ φωτὶ τῆς δόξης τοῦ προσώπου σου, Μετεμορφώθης ἐν τῷ Ὄρει*, καὶ Ἀπόλυσις.

Τὸ ἑσπέρας τῆς ἑορτῆς, οἱαδήποτε ἡμέρα καὶ ἂν ᾖ, ἀντὶ τοῦ Προκειμένου τῆς ἡμέρας ψάλλεται τὸ Μ. Προκείμενον *Ὁ Θεὸς ἡμῶν ἐν τῷ οὐρανῷ καὶ ἐν τῇ γῇ* μετὰ τῶν Στίχων αὐτοῦ.

---

3. *Τοῦτο ἤδη συνειθίσθη· ἀλλ' ἡ ἀκρίβεια ἀπαιτεῖ τὸν Εἱρμὸν τῆς θ΄ Ὠδῆς* **Ὁ τόκος σου ἀφθορος ἐδείχθη**, *διότι τοῦτό ἐστι κυρίως Θεοτοκίον, καὶ μετὰ τὸ Ἐξαιρέτως ἐν πάσαις ταῖς Δεσποτικαῖς ἑορταῖς λέγεται Εἱρμὸς Θεοτοκίος.*

Σαββάτῳ μετὰ τὴν ἑορτήν.

4. Τῇ Παρασκευῇ ἑσπέρας, ὁ Ἑσπερινὸς ψάλλεται κατὰ τὴν σειρὰν τοῦ Μηναίου καὶ ἐν τῷ τέλει ἡ Παράκλησις, Ἀπολυτίκιον *Μετεμορφώθης ἐν τῷ ὄρει*, ὁ Ἱερεύς *Ἐλέησον ἡμᾶς ὁ Θεὸς*, κτλ. καὶ ἡ Ἀπόλυσις.

5. Τῷ Σαββάτῳ, μετὰ τὸ Μεσονυκτικὸν καὶ τὴν τακτικὴν Ἀκολουθίαν τοῦ Ὄρθρου, εἰς τοὺς Αἴνους, τὰ εἰς τὴν Θ΄ τοῦ μηνὸς Ἑσπέρια *Τῆς παναγίας ἐνδόξου Μεταμορφώσεως εἰς δ΄*, Δόξα Καὶ νῦν *Ὁ φωτί σου ἅπασαν τὴν οἰκουμένην ἁγιάσας, Σοὶ δόξα πρέπει* μετὰ τὴν Ἐκτενῆ, τὰ Ἀπόστιχα *Ἐν ὄρει τῷ Θαβὼρ*, (ζήτει τῇ Θ΄ τοῦ μηνὸς) καὶ τὸ Ἀπολυτίκιον.

6. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς *Σῶσον ἡμᾶς υἱὲ Θεοῦ, ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ μεταμορφωθείς*. Μετὰ τὴν Εἴσοδον, *Δεῦτε προσκυνήσωμεν . . . ὁ ἐν τῷ ὄρει τῷ Θαβώρ*. Εἰς τὸ Ἐξαιρέτως, *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Μακάριοι οὓς ἐξελέξω, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Κυριακὴ μετὰ τὴν ἑορτήν.

7. Τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ ς΄ καὶ μεθέορτα δ΄. Δόξα *Δεῦτε ἀναβῶμεν εἰς τὸ ὄρος Κυρίου* (ζήτει εἰς τὴν Λιτήν). Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρά, Δόξα Καὶ νῦν τῆς ἑορτῆς, *Νῦν ἀπολύεις*, τὸ Τρισάγιον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς ἄπαξ, καὶ Ἀπόλυσις.

8. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμόν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον δὶς, καὶ τὸ τῆς ἑορτῆς ἅπαξ· εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἅμωμος, τὰ ἀναστάσιμα Καθίσματα καὶ τὰ μεθέορτα ἀντὶ τῶν Θεοτοκίων, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀ-

ναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες, ὁ Ἀναστάσιμος, καὶ ὁ εἰς τῆς ἑορτῆς· ἀπὸ γ΄ Ὠδῆς Κάθισμα μεθέορτον ἅπαξ, ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Σταυρὸν χαράξας* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον καὶ μεθέορτον ἅπαξ. Εἰς τοὺς Αἴνους, ἀναστάσιμα Στιχηρὰ δ΄ καὶ μεθέορτα δ΄, Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

9. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ δ΄ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Κανόνος τῆς ἑορτῆς. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Ἐπὶ τοῦ ὄρους μετεμορφώθης*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως, *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας, ὁ τῆς σειρᾶς Ἑσπερινὸς ψάλλεται κατὰ τὴν διάταξιν τοῦ Μηναίου, γίνεται Εἴσοδος, καὶ μετὰ τὸ *Νῦν ἀπολύεις*, ψάλλεται ἡ Μεγάλη Παράκλησις ὡς εἴθισται.

Ἡ Ἀπόδοσις τῆς ἑορτῆς.

10. Τῇ ΙΓ΄ τοῦ αὐτοῦ μηνὸς, ἡ Ἀκολουθία ψάλλεται ἀπαραλλάκτως ὡς ἐν τῇ ἡμέρᾳ τῆς ἑορτῆς, ἐξαιρουμένων ἐν τῷ Ἑσπερινῷ τῶν Ἀναγνωσμάτων, καὶ ἐν τῷ Ὄρθρῳ, τῆς Λιτῆς, τοῦ Πολυελέου καὶ τοῦ Εὐαγγελίου· ἐν δὲ τῇ Λειτουργίᾳ, Ἀπόστολος καὶ Εὐαγγέλιον τὰ τῆς ἡμέρας.

11. Εἰ τύχοι ἡ Ἀπόδοσις ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* Ἀναστάσιμα δ΄ καὶ τῆς ἑορτῆς Ἰδιόμελα ς΄, Δόξα τῆς ἑορτῆς, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν τῆς ἑορτῆς, *Νῦν ἀπολύεις*, τὸ Τρισάγιον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῆς ἑορτῆς δὶς, καὶ Ἀπόλυσις.

12. Τῇ Κυριακῇ, εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν. καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον,

τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος* τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινόν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα καὶ τὰ τῆς ἑορτῆς ἀντὶ τῶν Θεοτοκίων, τὰ Εὐλογητάρια, ἡ Ὑπακοή, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες, ὁ Ἀναστάσιμος καὶ οἱ δύο τῆς ἑορτῆς· ἀπὸ γ' Ὠδῆς, τὸ Κάθισμα τῆς ἑορτῆς ἅπαξ, ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Σταυρὸν χαράξας* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, καὶ ψάλλεται καὶ ἡ Θ' τῆς ἑορτῆς, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον καὶ τὸ τῆς ἑορτῆς δίς. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ' καὶ τῆς ἑορτῆς δ', Δόξα *Παρέλαβεν ὁ Χριστὸς*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

13. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς· εἰς τὸ δ' *Ὁ ἐν τῷ ὄρει τῷ Θαβὼρ*, τὸ Εἰσοδικὸν *Ὅτι παρὰ σοὶ πηγὴ . . .* μετὰ τοῦ *Ὁ ἀναστὰς ἐκ νεκρῶν*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς καὶ τὸ Κοντάκιον, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως, *Ὁ τόκος σου ἄφθορος*, Κοινωνικὸν τῆς ἑορτῆς, *Μετεμορφώθης ἐν τῷ ὄρει*, Ἀπόλυσις καὶ Ἀπόδοσις.

Τῇ ΙΔ'—Τὰ Προεόρτια τῆς Κοιμήσεως τῆς Ὑπεραγίας Θεοτόκου, καὶ τοῦ Προφήτου Μιχαίου.

1. Ἐὰν τύχωσι τὰ Προεόρτια ἐν ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ὁ προεόρτιος Ἑσπερινὸς (καὶ μετ' αὐτὸν, ἐννοεῖται, ἡ τελευταία Παράκλησις), καὶ τὸ πρωὶ ὁ Ὄρθρος μετὰ τῆς Λειτουργίας ψάλλονται κατὰ τὴν τοῦ Μηναίου διάταξιν.

2. Ἐὰν τύχωσιν ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* Ἀναστάσιμα ς' καὶ Προεόρτια δ', Δόξα *Τὴν πάνσεπτόν σου Κοίμησιν*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Εἴτοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν *Ἡ τῶν οὐρανῶν ὑψηλοτέρα*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ Προεόρτιον ἅπαξ καὶ Ἀπόλυσις.

Ἡ δὲ Ἀκολουθία τοῦ προφήτου Μιχαίου ἐν τοῖς Ἀποδείπνοις.

3. Τῇ Κυριακῇ, εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν' ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ προεόρτιον Ἀπολυτίκιον καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον δὶς καὶ τὸ Προεόρτιον ἅπαξ, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα, καὶ ἀντὶ τῶν Θεοτοκίων τῆς Ὀκτωήχου τὰ Προεόρτια, τὰ Εὐλογητάρια, ἡ Ὑπακοή, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον· Κανόνες, ὁ Ἀναστάσιμος καὶ ὁ Προεόρτιος μετὰ Στίχου *Ὑπεραγία Θεοτόκε*· ἀπὸ γ' Ὠδῆς, τὸ προεόρτιον Κάθισμα ἅπαξ, ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Ἀνοίξω τὸ στόμα μου . . .* τὸ τέλος *ταύτης τὴν Κοίμησιν*, καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον καὶ τὸ Προεόρτιον *Σοῦ τῆς σεπτῆς Κοιμήσεως* ἅπαξ. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ' καὶ Προεόρτια δ' *Δῆμος τῶν μαθητῶν*, Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

4. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ ἐκ τῆς ς' Ὠδῆς τοῦ Προεορτίου Κανόνος δ'. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ Προεόρτιον, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Τῇ ἐνδόξῳ μνήμῃ σου*. Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως, *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εὐφράνθημεν τὸ φῶς*, καὶ Ἀπόλυσις.

Τῇ ΙΕ' — Ἡ Κοίμησις τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου.

1. Ἐν τῷ Μ. Ἑσπερινῷ, μετὰ τὸν Προοιμιακὸν καὶ τὴν α' Στάσιν τοῦ Ψαλτηρίου, εἰς τὸ *Κύριε ἐκέκραξα* τὰ Προτόμοια *Ὦ τοῦ παραδόξου θαύματος* εἰς ς', Δόξα Καὶ νῦν *Θεαρχίῳ πνεύματι*, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ γ' Ἰδιόμελα, Δόξα Καὶ νῦν *Ὅτε ἐξεδήμησας*, τὸ Ἀπολυτίκιον ἐκ γ' καὶ Ἀπόλυσις.

2. Τὸ πρωὶ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ἡ Λιτὴ, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον, καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ Ἀπολυτίκιον ἑκ γ΄, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος *Ἐξηρεύξατο ἡ καρδία μου*, τὰ Καθίσματα ἑκ δ΄, οἱ Ἀναβαθμοὶ, τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἦχου, τὸ Προκείμενον *Μνησθήσομαι τοῦ ὀνόματός σου*, τὸ *Πᾶσα πνοὴ* καὶ τὸ Εὐαγγέλιον *Ἀναστᾶσα Μαριὰμ*, εἶτα ὁ Ν΄ ψαλμὸς χύμα, Δόξα *Ταῖς τῆς Θεοτόκου*, Καὶ νῦν τὸ αὐτὸ, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς* καὶ τὸ Ἰδιόμελον *Ὅτε ἡ μετάστασις*, οἱ Κανόνες ἀμφότεροι μετὰ τοῦ Στίχου *Ὑπεραγία Θεοτόκε*· ἀπὸ γ΄ Ὠδῆς, ἡ Ὑπακοὴ, ἀφ΄ ς΄ τὸ Κοντάκιον, ὁ Οἶκος καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Πεποικιλμένη τῇ θείᾳ δόξῃ*, εἶτα ψάλλεται ἡ θ΄ Ὠδὴ μετὰ τῶν Μεγαλυναρίων· εἰς μὲν τὸν α΄ Κανόνα τὸ *Αἱ γενεαὶ πᾶσαι μακαρίζομέν σε, τὴν μόνην Θεοτόκον*, εἰς δὲ τὸν δ΄ τὸ *Ἄγγελοι τὴν Κοίμησιν τῆς Παρθένου, ὁρῶντες ἐξεπλήττοντο, πῶς ἡ Παρθένος ἀπαίρει ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω*, καὶ ἡ Καταβασία *Αἱ γενεαὶ πᾶσαι . . . Νενίκηνται τῆς φύσεως οἱ ὅροι*[1], τὸ Ἐξαποστειλάριον τρίς. Εἰς τοὺς Αἴνους, τὰ γ΄ Προσόμοια εἰς δ΄, Δόξα Καὶ νῦν *Τῇ ἀθανάτῳ σου Κοιμήσει*, Δοξολογία Μεγάλη καὶ τὸ *Ἐν τῇ Γεννήσει*.

3. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα.

Ἀντίφωνον Α΄.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.
Ἐξομολογεῖσθε αὐτῷ, αἰνεῖτε τὸ ὄνομα αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

---

4. *Εὐθὺς μετὰ τὴν Καταβασίαν τῆς θ΄ συνειθίζεται ἐνιαχοῦ, ὅπου πανηγυρίζεται ἡ ἑορτὴ αὕτη μεγαλοπρεπῶς, πρὸς πλείονα τάχα δόξαν καὶ τιμὴν τῆς Θεοτόκου, ἵνα ψάλλωνται τὰ λεγόμενα ἐγκώμια τῆς Παναγίας, κατὰ μίμησιν τῶν τοῦ Κυρίου ἡμῶν, τῶν ψαλλομένων ἐν τῷ Ὄρθρῳ τοῦ Μ. Σαββάτου. Ἡ Μ. Ἐκκλησία κατακρίνουσα πᾶν ὅ,τι καινοφανὲς καὶ κακόζηλον, ἔστω καὶ γινόμενον πρὸς τιμὴν τῆς Θεοτόκου, ἀποδοκιμάζει ταῦτα ἐπισήμως καὶ ἀπαγορεύει μάλιστα αὐστηρῶς.*

Ἐν πόλει Κυρίου τῶν δυνάμεων, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν.
Ἐγεννήθη ἐν εἰρήνῃ ὁ τόπος αὐτοῦ, καὶ τὸ κατοικητήριον αὐτοῦ ἐν Σιών.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου.

Ἀντίφωνον Β΄.

Ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.
Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ.
Ὁ Θεὸς ἐθεμελίωσεν αὐτὴν εἰς τὸν αἰῶνα.

Σῶσον ἡμᾶς . . . ὁ ἐν ἁγίοις θαυμαστός.

Δόξα Καὶ νῦν *Ὁ Μονογενὴς* κτλ.

Ἀντίφωνον Γ΄.

Ἑτοίμη ἡ καρδία μου, ὁ Θεὸς, ἑτοίμη ἡ καρδία μου.
Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;
Ποτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.

Ἐν τῇ Γεννήσει τὴν παρθενίαν.

Μετὰ τὴν Εἴσοδον, τὸ Ἀπολυτίκιον *Ἐν τῇ Γεννήσει*, καὶ τὸ Κοντάκιον *Τὴν ἐν πρεσβείαις ἀκοίμητον*, ὁ Ἀπόστολος, καὶ τὸ Εὐαγγέλιον *Εἰσῆλθεν ὁ Ἰησοῦς εἰς κώμην τινά*. Εἰς τὸ Ἐξαιρέτως *Αἱ γενεαὶ πᾶσαι . . . Νενίκηνται τῆς φύσεως οἱ ὅροι*· Κοινωνικὸν *Ποτήριον, Εἴδομεν τὸ φῶς*, καὶ Ἀπόλυτις.

4. Εἰ τύχοι ἡ ἑορτὴ ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ δ΄ καὶ τῆς ἑορτῆς τὰ Προσόμοια εἰς ς΄, Δόξα Καὶ νῦν *Θεαρχίῳ πνεύματι*. Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον, καὶ τὰ Ἀναγνώσματα τῆς ἑορτῆς. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀνα-

στάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν Ὅτε ἐξεδήμησας, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τῆς ἑορτῆς δὶς, καὶ Ἀπόλυσις.

5. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν, ἡ Λιτὴ καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἐν τῇ Γεννήσει*, καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος *Ἐξηρεύξατο ἡ καρδία μου*. Εἰς τὴν α΄ Στιχολογίαν Καθίσματα Ἀναστάσιμα β΄ καὶ τὸ τῆς ἑορτῆς *Ἀναβόησον Δαβίδ*· εἰς τὴν β΄ αὖθις Ἀναστάσιμα β΄ καὶ τὸ τῆς ἑορτῆς *Ὁ πάντιμος χορὸς*, τὸ δὲ γ΄ Κάθισμα τῆς ἑορτῆς ἐκ δευτέρου, ἡ Αἴτησις, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον τῆς ἑορτῆς *Μνησθήσομαι τοῦ ὀνόματός σου*, τὸ *Πᾶσα πνοὴ*, καὶ τὸ Εὐαγγέλιον *Ἀναστάσα Μαριὰμ*, τὸ *Ἀνάστασιν Χριστοῦ*, καὶ ὁ Ν΄ ψαλμὸς χύμα, Δόξα *Ταῖς τῆς Θεοτόκου*, Καὶ νῦν τὸ αὐτὸ, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς*, καὶ τὸ Ἰδιόμελον Ὅτε ἡ μετάστασις. Κανόνες ὁ Ἀναστάσιμος καὶ οἱ δύο τῆς ἑορτῆς· ἀπὸ γ΄ Ὠδῆς, τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου καὶ ἡ Ὑπακοὴ *Μακαρίζομέν σε πᾶσαι αἱ γενεαὶ χύμα*· ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τῆς ἑορτῆς καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Πεποικιλμένη τῇ θείᾳ δόξῃ*· εἶτα ψάλλεται ἡ θ΄ τῆς ἑορτῆς μετὰ τῶν Μεγαλυναρίων, τὸ ἀναστάσιμον Ἐξαποστειλάριον καὶ τὸ τῆς ἑορτῆς δίς. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ τῆς ἑορτῆς δ΄. Δόξα *Τῇ ἀθανάτῳ σου κοιμήσει*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη, καὶ τὸ *Σήμερον σωτηρία*.

6. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς, εἰς τὸ β΄ Ἀντίφωνον *Ὁ ἀναστὰς ἐκ νεκρῶν*. Μετὰ τὴν Εἴσοδον *Δεῦτε προσκυνήσωμεν . . . ὁ ἀναστὰς ἐκ νεκρῶν*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς, καὶ Κοντάκιον *Τὴν ἐν πρεσβείαις*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς ἑορτῆς. Εἰς τὸ Ἐξαιρέτως *Αἱ γενεαὶ πᾶσαι . . . Νενίκηνται τῆς φύσεως οἱ ὅροι*· Κοινωνικὸν *Ποτήριον, Εἴδομεν τὸ φῶς*, καὶ Ἀπόλυσις.

Τῇ ΙΣ΄ — Ἡ ἐξ Ἐδέσσης ἀνακομιδὴ τῆς ἀχειροποιήτου Εἰκόνος, ἤτοι τοῦ ἁγίου Μανδηλίου, καὶ τοῦ ἁγίου Διομήδους.

7. Τῇ ΙΕ΄ τοῦ μηνὸς ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν τὰ γ΄ Στιχηρὰ Προσόμοια τοῦ ἁγίου Μανδηλίου, καὶ γ΄ τῆς ἑορτῆς (τὰ τοῦ μικροῦ Ἑσπερινοῦ), Δόξα Καὶ νῦν *Δεῦτε τὴν παγκόσμιον κοίμησιν*. Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον τῆς ἡμέρας. Εἰς τὰ Ἀπόστιχα, τὰ τῆς σειρᾶς Δῆμος τῶν μαθητῶν, Δόξα Καὶ νῦν μεθέορτον, Ἀπολυτίκια *Τὴν ἄχραντον Εἰκόνα σου*, *Ἐν τῇ Γεννήσει* καὶ Ἀπόλυσις.

8. Εἰς τὸν Ὄρθρον, μετὰ τὸ Μεσονυκτικὸν, ὁ Ν΄ ψαλμὸς, ὁ Ἑξάψαλμος καὶ τὰ λοιπὰ κατὰ τὴν τοῦ Μηναίου διάταξιν, ὁ Κανὼν τῆς ἑορτῆς καὶ ὁ τοῦ ἁγίου Μανδηλίου, αἱ Καταβασίαι *Πεποικιλμένη τῇ θείᾳ δόξῃ*, *Τὴν τιμιωτέραν*, τὸ Ἐξαποστειλάριον τῆς σειρᾶς δίς. Εἰς τοὺς Αἴνους, τὰ τοῦ Ἑσπερινοῦ γ΄ Προσόμοια τοῦ ἁγίου Μανδηλίου *Ποίαις οἱ γηγενεῖς ὕμνοις* εἰς δ΄. Δόξα Καὶ νῦν *Ἡ τῶν οὐρανῶν ὑψηλοτέρα* (ζήτει εἰς τὴν Λιτήν). Δοξολογία Μεγάλη καὶ τὸ Ἀπολυτίκιον *Τὴν ἄχραντον Εἰκόνα σου*.

9. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ, Τροπάρια ἐκ τῆς γ΄ καὶ ς΄ Ὠδῆς τοῦ Κανόνος τοῦ ἁγίου Μανδηλίου. Μετὰ τὴν Εἴσοδον, *Τὴν ἄχραντον Εἰκόνα σου*, *Ἐν τῇ Γεννήσει*, τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Τὴν ἐν πρεσβείαις*, ὁ Ἀπόστολος (ζήτει Σαββάτῳ πρὸ τῶν Φώτων), καὶ τὸ Εὐαγγέλιον *Τῷ καιρῷ ἐκείνῳ, ἐγένετο ἐν τῷ συμπληροῦσθαι*. Εἰς τὸ Ἐξαιρετως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε τὸν Κύριον*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

10. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν, καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ δ΄, τοῦ ἁγίου Μανδηλίου γ΄ καὶ γ΄ τῆς ἑορτῆς (τὰ τοῦ μικροῦ Ἑσπερινοῦ), Δόξα *Δεῦτε φιλέορτον τὸ σύστημα* (ζήτει εἰς τὴν Λιτὴν τῆς ἑορτῆς), Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν *Ἄσατε λαοὶ* (ζήτει εἰς τὴν Λιτὴν),

τὸ ἀναστάσιμον Ἀπολυτίκιον, *Τὴν ἄχραντον Εἰκόνα σου, Ἐν τῇ Γεννήσει* καὶ Ἀπόλυσις.

11. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν, καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Τὴν ἄχραντον Εἰκόνα σου*, καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος. Εἰς τὴν α΄ Στιχολογίαν δύο ἀναστάσιμα Καθίσματα, καὶ μεθέορτον *Καθορῶσαι ἀληθῶς* (ζήτει εἰς τὴν ΙϚ΄)· εἰς τὴν β΄ Στιχολογίαν αὖθις δύο Ἀναστάσιμα, καὶ τὸ ἕτερον μεθέορτον *Ἐν χερσὶ τοῦ δι' ἡμᾶς*· εἶτα τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου, καὶ τὸ Προκείμενον. Κανόνες, ὁ Ἀναστάσιμος, καὶ ὁ τοῦ ἁγίου Μανδηλίου μετὰ Στίχου *Δόξα σοι ὁ Θεὸς ἡμῶν*· ἀπὸ γ΄ Ὠδῆς Κάθισμα *Ἐδέσης βασιλεὺς* καὶ τῆς ἑορτῆς *Ὁ πάντιμος χορός*· ἀφ' ς΄ Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον τῆς ἡμέρας, αἱ Καταβασίαι *Πεποικιλμένη τῇ θείᾳ δόξῃ* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου, εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, τὸ ἀναστάσιμον Ἐξαποστειλάριον, καὶ τὸ τῆς ἑορτῆς *Τῶν Ἀποστόλων ὁ δῆμος* ἅπαξ. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ μεθέορτα δ΄ *Ὕμνοις σου τὸ σεπτὸν* (ζήτει τῇ ΙϚ΄). Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*. Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

12. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον *Τὴν ἄχραντον Εἰκόνα σου, Ἐν τῇ Γεννήσει*, τοῦ Ἁγίου τοῦ Ναοῦ, Κοντάκιον *Τὴν ἐν πρεσβείαις ἀκοίμητον*· Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Κυριακὴ μετὰ τὴν ἑορτήν.

13. Τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ ς΄ καὶ μεθέορτα δ΄, Δόξα *Ἡ τῶν οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα* (ζήτει εἰς τὴν Λιτὴν), Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου. Εἴσοδος, *Φῶς ἱλαρὸν*, καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν *Ἄσατε λαοὶ* (ζήτει εἰς τὴν Λιτὴν), τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς ἅπαξ καὶ Ἀπόλυσις.

14. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν, καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*· εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ἐν τῇ Γεννήσει*, καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον δὶς, καὶ τὸ τῆς ἑορτῆς ἅπαξ, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα καὶ ἀνὰ ἓν μεθέορτον ἀντὶ Θεοτοκίων, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου, καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος, καὶ ὁ τῆς ἑορτῆς *Παρθένοι νεάνιδες*· ἀπὸ γ΄ Ὠδῆς Κάθισμα *Ἐν χερσὶ τοῦ δι' ἡμᾶς* (ζήτει τῇ ΙΖ΄)· ἀφ' ς΄ Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα, καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Πεποικιλμένη τῇ θείᾳ δόξῃ* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου. Εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάριον τὸ Ἀναστάσιμον, καὶ τὸ τῆς ἑορτῆς ἅπαξ. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ μεθέορτα δ΄. Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη, καὶ τὸ *Σήμερον σωτηρία*.

15. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ δ΄ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Κανόνος τῆς ἑορτῆς. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Τὴν ἐν πρεσβείαις*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως, *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς*, καὶ Ἀπόλυσις.

Ἡ Ἀπόδοσις.

16. Τῇ ΚΓ΄ τοῦ μηνὸς ἀποδίδοται ἡ ἑορτὴ καὶ ψάλλεται ἡ Ἀκολουθία ἀπαραλλάκτως κατὰ τὴν ἐν § 1, 2, 3, διάταξιν, ἐξαιρουμένων ἐν τῷ Ἑσπερινῷ τοῦ Ψαλτηρίου καὶ τῶν Ἀναγνωσμάτων, ἐν τῷ Ὄρθρῳ τῆς Λιτῆς, τοῦ Πολυελέου, τοῦ Εὐαγγελίου καὶ τοῦ Μηνολογίου· ἐν δὲ τῇ Λειτουργίᾳ, Ἀπόστολος καὶ Εὐαγγέλιον λέγονται τὰ τῆς ἑορτῆς, Κοινωνικὸν *Ποτήριον*.

17. Εἰ τύχοι ἡ Ἀπόδοσις ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ δ΄ καὶ τῆς ἑορτῆς ς΄, Δόξα Καὶ νῦν *Θεαρ-*

χίῳ νεύματι, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα Καὶ νῦν *Ὅτε ἐξεδήμησας*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς δίς, καὶ Ἀπόλυσις.

18. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς κτλ. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα, καὶ ἀνὰ ἓν τῆς ἑορτῆς ἀντὶ Θεοτοκίων, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ οἱ δύο τῆς ἑορτῆς· ἀπὸ γ΄ Ὠδῆς, τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, εἶτα τὸ Κάθισμα *Ἐν τῇ Γεννήσει σου*· ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τῆς ἑορτῆς καὶ τὸ Μηνολόγιον τῆς ἡμέρας, αἱ Καταβασίαι *Πεποικιλμένη* καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα ψάλλεται ἡ θ΄ μετὰ τῶν Μεγαλυναρίων ὡς ἐν τῇ ἑορτῇ, τὸ ἀναστάσιμον Ἐξαποστειλάριον, καὶ τὸ τῆς ἑορτῆς δίς. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ τῆς ἑορτῆς δ΄, Δόξα *Τῇ ἀθανάτῳ σου Κοιμήσει*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

19. Εἰς τὴν Λειτουργίαν, τὰ Ἀντίφωνα τῆς ἑορτῆς· εἰς τὸ δ΄ Ἀντίφωνον *Ὁ ἀναστὰς ἐκ νεκρῶν*. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς καὶ τὸ Κοντάκιον *Τὴν ἐν πρεσβείαις*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως, *Αἱ γενεαὶ πᾶσαι . . . Νενίκηνται τῆς φύσεως οἱ ὅροι*, Κοινωνικὸν *Ποτήριον*, *Εἴδομεν τὸ φῶς*, Ἀπόλυσις καὶ Ἀπόδοσις.

Μετὰ τὴν Ἀπόδοσιν τῆς ἑορτῆς, ἐπαναλαμβάνονται αἱ Καταβασίαι *Σταυρὸν χαράξας Μωσῆς*, καὶ Κοντάκιον λέγεται *Ἰωακεὶμ καὶ Ἄννα*.

Τῇ ΚΘ΄—Ἡ Ἀποτομὴ τῆς τιμίας κεφαλῆς τοῦ τιμίου, ἐνδόξου, Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου.

1. Εἰ τύχοι ἡ μνήμη τοῦ Προδρόμου ἐν ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, ἡ Ἀκολουθία ψάλλεται ὡς ἐστι διατεταγμένη ἐν τῷ Μηναίῳ.

2. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ δ΄ καὶ τοῦ Προδρόμου ς΄, Δόξα *Γενεθλίων τελουμένων*, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον, καὶ τὰ Ἀναγνώσματα. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα *Πρόδρομε τοῦ Σωτῆρος*, Καὶ νῦν *Ἀνύμφευτε Παρθένε*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ *Μνήμη δικαίου*, τὸ Θεοτοκίον *Πάντα ὑπὲρ ἔννοιαν* καὶ Ἀπόλυσις.

3. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς Κανὼν, ἡ Λιτὴ τοῦ Προδρόμου καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Προδρόμου, καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον καὶ ὁ Πολυέλεος, τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειρὰν, καὶ ἀνὰ ἓν τοῦ Προδρόμου μετὰ τῶν Θεοτοκίων· ἐν δὲ τῇ γ΄ Στιχολογίᾳ, Κάθισμα τοῦ Προδρόμου καὶ τὸ Θεοτοκίον, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες, ὁ Ἀναστάσιμος καὶ ὁ τοῦ Προδρόμου· ἀπὸ γ΄ Ὠδῆς, τὸ ἀναστάσιμον Κοντάκιον καὶ ὁ Οἶκος, εἶτα τὸ Κάθισμα τοῦ Προδρόμου *Νῦν ἐπέφανεν ἡμῖν* καὶ τὸ Θεοτοκίον· ἀφ΄ ς΄ Κοντάκιον καὶ Οἶκος τοῦ Προδρόμου καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Σταυρὸν χαράξας*, καὶ ἅπασα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον, τοῦ Προδρόμου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ τοῦ Προδρόμου δ΄, Δόξα *Πάλιν Ἡρωδιὰς μαίνεται*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

4. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ δ΄ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ α΄ Κανόνος τοῦ Προδρόμου. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Προδρόμου, καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ, Κοντάκιον *Ἰωακεὶμ καὶ Ἄννα*, Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Προδρόμου. Εἰς τὸ Ἐξαιρέτως, *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Εἰς μνημόσυνον*, *Εἴδομεν τὸ φῶς*, καὶ Ἀπόλυσις.

Σημ. Τὴν ἡμέραν ταύτην παρελάβομεν νηστεύειν τοὺς εὐσεβεῖς, διὰ τὸν φόνον τοῦ μείζονος πάντων τῶν Προφητῶν Ἰωάννου τοῦ καὶ Προδρόμου τοῦ Σωτῆρος ἡμῶν· ἀλλὰ ἐὰν τύχῃ ἐν

Σαββάτῳ ἢ Κυριακῇ, καταλύομεν ἔλεον καὶ οἶνον, εὐχαριστοῦντες Χριστῷ τῷ Θεῷ.

5. Ὅταν τύχῃ ἡ ἑορτὴ τοῦ Προδρόμου ἐν Σαββάτῳ, τὸ ἑσπέρας τῆς αὐτῆς ἡμέρας Ἀναστάσιμα δ΄, τοῦ Προδρόμου τὰ ἐν τῇ σειρᾷ γ΄, καὶ τοῦ ἁγίου Ἀλεξάνδρου γ΄, Δόξα *Γενεθλίων τελουμένων*, Καὶ νῦν τὸ τοῦ ἤχου Θεοτοκίον. Εἰς τὰ Ἀπόστιχα, Δόξα τοῦ Προδρόμου, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Προδρόμου καὶ Θεοτοκίον. Τὸ πρωῒ ὁ Ἀναστάσιμος κανὼν καὶ ὁ τοῦ Προδρόμου· ἐν τῇ γ΄ Ὠδῇ, Κάθισμα τοῦ Προδρόμου, ὡς καὶ τὸ Ἐξαποστειλάριον, τὰ δὲ λοιπὰ τῆς Κυριακῆς.

Τῇ ΛΑ΄—Ἡ Κατάθεσις τῆς τιμίας Ζώνης τῆς Ὑπεραγίας Θεοτόκου.

1. Εἰ τύχοι ἡ ἑορτὴ ἐν ἄλλῃ ἡμέρᾳ πλὴν Κυριακῆς, τὴν διάταξιν τῆς Ἀκολουθίας ὅρα Ἰουλίου Β΄. Ἐν τῷ Ὄρθρῳ Καταβασίαι ψάλλονται *Σταυρὸν χαράξας Μωσῆς* καὶ Κοντάκιον τὸ ἀπὸ γ΄ Ὠδῆς ἐπέχον τόπον Καθίσματος *Τὰ καταθέσια τῆς σῆς θείας Ζώνης*, καὶ καθεξῆς.

2. Εἰ τύχοι ἐν Κυριακῇ, τῷ Σαββάτῳ ἑσπέρας μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον, εἰς τὸ *Κύριε ἐκέκραξα* Ἀναστάσιμα ς΄ καὶ τῆς ἑορτῆς δ΄, Δόξα *Ὡς στέφανον ὑπέρλαμπρον*, Καὶ νῦν τὸ α΄ Θεοτοκίον τοῦ ἤχου, Εἴσοδος, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρά, Δόξα Καὶ νῦν *Φρένα καθάρατες καὶ νοῦν*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς *Θεοτόκε ἀειπάρθενε* ἅπαξ, καὶ Ἀπόλυσις.

3. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Ν΄ ψαλμὸν, ὁ Τριαδικὸς κανὼν καὶ τὰ Τριαδικὰ *Ἄξιόν ἐστιν*, εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον δὶς, καὶ τὸ τῆς ἑορτῆς ἅπαξ, εἶτα τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ ἀναστάσιμα Καθίσματα κατὰ σειράν, ἀλλ' ἀντὶ Θεοτοκίου τὰ τῆς ἑορτῆς, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τῆς ἑορτῆς· ἀπὸ γ΄ Ὠδῆς Κοντάκιον καὶ Οἶκος τῆς

ἑορτῆς, εἶτα τὸ Κάθισμα *Οἱ τῶν θαυμάτων ποταμοὶ* ἀφ' ς΄ Κοντάκιον καὶ Οἶκος τὰ Ἀναστάσιμα καὶ τὸ Μηνολόγιον, αἱ Καταβασίαι *Σταυρὸν χαράξας* καὶ ἅπαντα ἡ τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, τὸ ἀναστάσιμον Ἐξαποστειλάριον, καὶ τὰ δ΄ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ΄ καὶ τῆς ἑορτῆς δ΄, Δόξα τὸ Ἑωθινὸν, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

4. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ΄ καὶ δ΄ ἐκ τῆς ς΄ Ὠδῆς τοῦ Κανόνος τῆς ἑορτῆς. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς, καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ, Κοντάκιον *Τῆς τιμίας Ζώνης σου τῇ καταθέσει* (ζήτει ἀπὸ γ΄ Ὠδῆς), Ἀπόστολος *Εἶχεν ἡ πρώτη σκηνὴ* (ζήτει Νοεμβρίου ΚΑ΄) καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως, *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

ΤΥΠΙΚΗ ΔΙΑΤΑΞΙΣ

ΤΩΝ ΑΚΟΛΟΥΘΙΩΝ ΤΟΥ ΤΡΙΩΔΙΟΥ

ΚΥΡΙΑΚΗ

ΤΟΥ ΤΕΛΩΝΟΥ ΚΑΙ ΦΑΡΙΣΑΙΟΥ

Τῷ Σαββάτῳ ἑσπέρας[1], εἰς τὸ *Κύριε ἐκέκραξα* Ἀναστάσιμα Στιχηρὰ ζ′ καὶ τοῦ Τριῳδίου γ′, *Δόξα Παντοκράτορ Κύριε*, Καὶ νῦν τὸ α′ Θεοτοκίον τοῦ ἤχου. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρά, *Δόξα Βεβαρημένων τῶν ὀφθαλμῶν μου*, Καὶ νῦν *Ναὸς καὶ πύλη*, Ἀπολυτίκιον Ἀναστάσιμον, τὸ Θεοτοκίον, καὶ Ἀπόλυσις.

2. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Τριαδικὸν κανόνα, τὰ *Ἄξιόν ἐστιν*, τὰ γ′ Κατανυκτικὰ τροπάρια *Ἐλέησον ἡμᾶς Κύριε, ἐλέησον ἡμᾶς* κτλ. καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον δίς, καὶ τὸ Θεοτοκίον ἅπαξ, τὸ Ψαλτήριον καὶ ὁ Ἅμωμος, τὰ Καθίσματα κατὰ σειράν, τὰ Εὐλογητάρια, ἡ Ὑπακοή, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον.

---

1. Πρὸς ἀποφυγὴν περιττολογίας ἐν ἑκάστῳ Ἑσπερινῷ Κυριακῆς τοῦ Τριῳδίου, καὶ μάλιστα καθ' ὅσον ἐν τῇ Προθεωρίᾳ καὶ ἐν τῇ ἰδιαιτέρᾳ διατάξει τῆς Ἀκολουθίας τῆς Κυριακῆς (ἴδε σελ. 49) ἐσημειώθησαν τὰ δέοντα, ἐθεωρήθη περιττὸν νὰ γίνηται ἑκάστοτε μνεία περὶ Προοιμιακοῦ, Ψαλτηρίου, Φῶς ἱλαρόν, *Προκειμένου καὶ λοιπῶν.*

Κανόνες, ὁ Ἀναστάσιμος καὶ ὁ τοῦ Τριῳδίου μετὰ Στίχου *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι*· ἀπὸ γ' Ὠδῆς, τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, τὸ Κάθισμα τοῦ Τριῳδίου καὶ τὸ Θεοτοκίον· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Τριῳδίου, τὸ Μηνολόγιον καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου, αἱ Καταβασίαι *Ὡς ἐν Ἠπείρῳ πεζεύσας ὁ Ἰσραήλ*, εἶτα *Τοῦ Κυρίου δεηθῶμεν*, τὸ Εὐαγγέλιον τοῦ Ὄρθρου[2], τὸ *Ἀνάστασιν Χριστοῦ*, καὶ ψάλλεται ὁ Ν' ψαλμός, Δόξα *Τῆς μεταγοίας ἄνοιξόν μοι*, Καὶ νῦν *Τῆς σωτηρίας εὐθυνόν μοι*, ὁ Στίχος *Ἐλέησόν με ὁ Θεὸς*, καὶ τὸ Τροπάριον *Τὰ πλήθη τῶν πεπραγμένων μοι δεινῶν*, εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον, τὸ τοῦ Τριῳδίου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα ε' καὶ τοῦ Τριῳδίου γ', Δόξα *Ταῖς ἐξ ἔργων καυχήσεσι*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

3. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ δ' ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τοῦ Τριῳδίου. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Φαρισαίου φύγωμεν κενοδοξίαν*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαρίτους, *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις[3].

Τὴν ἑβδομάδα ταύτην γίνεται κατάλυσις εἰς πάντα.

ΚΥΡΙΑΚΗ ΤΟΥ ΑΣΩΤΟΥ

4. Τῷ Σαββάτῳ ἑσπέρας, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ ζ' καὶ τοῦ Τριῳδίου γ', Δόξα *Ὦ πόσων ἀγαθῶν*,

2. *Ἐν ταῖς λοιπαῖς Κυριακαῖς τοῦ Τριῳδίου παρέρχεται ἐν σιγῇ τὸ Τυπικὸν τὰ περὶ τοῦ Εὐαγγελίου τοῦ Ὄρθρου, καθὸ γνωστά, ἐπιδιώκον τὴν συντομίαν ἔνθα οὐδεμία ἀμφιβολία ὑπάρχει.*

3. *Ἐὰν κατ' αὐτὴν τὴν Κυριακὴν ἡ ἑτέραν ἐκ τῶν τριῶν ἀκολούθων συμπέσῃ ἡ ἑορτὴ τῆς Ὑπαπαντῆς, ἢ διαρκῶσι τὰ μεθέορτα αὐτῆς, ἴδε τὰ ἀπορούμενα ἐκεῖ.*

Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρά, Δόξα *Τῆς πατρικῆς δωρεᾶς*, Καὶ νῦν *Ὁ ποιητὴς καὶ λυτρωτής μου*, Ἀπολυτίκιον Ἀναστάσιμον, τὸ Θεοτοκίον καὶ Ἀπόλυσις.

5. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Τριαδικὸν κανόνα τὰ *Ἄξιόν ἐστιν*, τὰ γ' Κατανυκτικὰ τροπάρια καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον δίς, καὶ τὸ Θεοτοκίον ἅπαξ, τὸ Ψαλτήριον καὶ ὁ Ἅμωμος, τὰ Καθίσματα κατὰ σειράν, τὰ Εὐλογητάρια, ἡ Ὑπακοή, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες, ὁ Ἀναστάσιμος καὶ ὁ τοῦ Τριῳδίου μετὰ Στίχου *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι*· ἀπὸ γ' Ὠδῆς, τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου καὶ τὸ Κάθισμα τοῦ Τριῳδίου μετὰ τοῦ Θεοτοκίου· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Τριῳδίου, τὸ Μηνολόγιον, καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου, αἱ Καταβασίαι *Τὴν Μωσέως ᾠδὴν* καὶ ἅπασα ἡ ἐν ταῖς Κυριακαῖς τοῦ Τριῳδίου τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τὸ τοῦ Τριῳδίου καὶ τὸ Θεοτοκίον. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα ε' καὶ τοῦ Τριῳδίου γ', Δόξα *Πάτερ ἀγαθὲ*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

6. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς δ' καὶ δ' ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τοῦ Τριῳδίου. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Τῆς πατρῴας δόξης σου*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαρίτους, *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

Σημ. Τὴν Τετάρτην καὶ τὴν Παρασκευὴν κατάλυτις οὐ γίνεται.

ΣΑΒΒΑΤΟΝ ΠΡΟ ΤΗΣ ΑΠΟΚΡΕΩ

Μνήμην ἐπιτελοῦμεν πάντων τῶν ἀπ' αἰῶνος Κεκοιμημένων ὀρθοδόξων Χριστιανῶν, πατέρων καὶ ἀδελφῶν ἡμῶν.

7. Τῇ Παρασκευῇ ἑσπέρας, μετὰ τὸν Προοιμιακὸν, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν Στιχηρὰ Μαρτυρικὰ τοῦ ἤχου γ' καὶ γ'

τῶν Κεκοιμημένων *Τῶν ἀπ' αἰῶνος σήμερον νεκρῶν*, Δόξα *Θρηνῶ καὶ ὀδύρομαι*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, τὸ *Φῶς ἱλαρὸν*, καὶ ψάλλομεν εἰς ἦχον πλ. δ' τὸ *Ἀλληλούϊα* τρὶς, ἐκ τρίτου μετὰ τῶν ἑξῆς διὰ τὰς δύο τελευταίας φορὰς Στίχων *Μακάριοι οὓς ἐξελέξω καὶ προσελάβου Κύριε*, καὶ ὁ ἕτερος *Καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν*· εἶτα τὸ *Καταξίωσον*. Εἰς τὰ Ἀπόστιχα, τὰ δ' Μαρτυρικὰ τοῦ ἤχου, Δόξα *Ἀρχή μοι καὶ ὑπόστασις*, Καὶ νῦν *Πρεσβείαις τῆς τεκούσης σε*. Μετὰ τὸ *Νῦν ἀπολύεις*, ἀρχόμεθα ψάλλειν τὸν Κανόνα *Ἐν οὐρανίοις θαλάμοις διηνεκῶς* (ὅρα ἐν τῷ Πεντηκοσταρίῳ) μετὰ τῶν Στίχων *Πρεσβείαις τῶν Μαρτύρων σου, Χριστὲ ὁ Θεὸς, ἀνάπαυσον τὰς ψυχὰς τῶν δούλων σου*, καὶ ὁ ἕτερος *Αἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται*, Δόξα Καὶ νῦν ἐν ἑκάστῃ Ὠδῇ· ἀπ' θ' ψάλλεται ὁ Εἱρμὸς *Θεὸν ἀνθρώποις*, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον *Ὁ βάθει σοφίας*, Δόξα, τὸ τέλος *Ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ ποιητῇ καὶ πλάστῃ καὶ Θεῷ ἡμῶν*, Καὶ νῦν *Σὲ καὶ τεῖχος καὶ λιμένα*, εἶτα ψάλλονται τὰ Τροπάρια *Μετὰ πνευμάτων δικαίων*, μνημονεύονται ἐπὶ τῶν κολλύβων τὰ ὀνόματα τῶν κεκοιμημένων ὡς ἑξῆς· *Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον· ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως τῶν ψυχῶν τῶν κεκοιμημένων δούλων σου, Βασιλέων, Πατριαρχῶν* (κτλ. κατὰ λέξιν ὡς ἐν § 9 σημειοῦται) . . . εἶτα *Ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός . . . αὐτὸς, Κύριε, ἀνάπαυσον καὶ τὰς ψυχὰς τῶν κεκοιμημένων δούλων σου Βασιλέων, Πατριαρχῶν . . . ὅτι σὺ εἶ ἡ ἀνάστασις, ἡ ζωὴ καὶ ἡ ἀνάπαυσις πάντων τῶν κεκοιμημένων εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, Χριστὲ ὁ Θεὸς ἡμῶν καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν σὺν . . .* κτλ. ὡς ἐν § 9· εἶτα γίνεται ἡ Ἀπόλυσις.

8. Τῷ Σαββάτῳ, μετὰ τὸ Μεσονύκτικὸν, τὸ Ἀπολυτίκιον *Ὁ βάθει σοφίας* καὶ ὁ Ἑξάψαλμος· τὸ *Ἀλληλούϊα* εἰς ἦχον πλ. δ' τὰς δύο πρώτας φορὰς ἄνευ Στίχων καὶ τὰς δύο ἄλλας μετὰ τῶν Στίχων *Μακάριοι . . . Καὶ τὸ μνημόσυνον*, εἶτα τὰ Ἀπολυτίκια ὡς εἰς τὸν Ἑσπερινὸν, τὸ Ψαλτήριον, καὶ μετὰ τὴν Συναπτὴν τὰ τοῦ ἤχου Καθίσματα, τὰ Νεκρώσιμα καὶ τὰ Μαρτυρικὰ, εἶτα ὁ Ἄμωμος μέχρι τοῦ *Τότε ἂν ἀπωλόμην ἐν τῇ ταπεινώσει μου*,

(τῆς δ' Στάσεως), τὸ δὲ *Εἰς τὸν αἰῶνα οὐ μὴ ἐπιλάθωμαι τῶν δικαιωμάτων σου, ὅτι ἐν αὐτοῖς ἔζησάς με*, ψάλλεται τρὶς εἰς ἦχον πλ. α' καὶ μνημονεύονται τὰ ὀνόματα τῶν κεκοιμημένων (ὡς χθὲς ἐν τῷ Ἑσπερινῷ), εἶτα ἐξακολουθεῖ τὸ *Σός εἰμι ἐγὼ σῶσόν με μέχρι τοῦ Καὶ τὰ κρίματά σου βοηθήσει μοι*· τὸ δὲ *Ἐπλατύνθην ὡς πρόβατον ἀπολωλὸς* ψάλλεται εἰς τὸν πλ. α' ἦχον ἐκ τρίτου, καὶ εὐθὺς τὰ Νεκρώσιμα Εὐλογητάρια, καὶ μετὰ ταῦτα μνημονεύονται πάλιν τὰ ὀνόματα· μετὰ τὴν ἐκφώνησιν τὸ Κάθισμα *Ἀνάπαυσον Σωτὴρ ἡμῶν* καὶ τὸ Θεοτοκίον *Ὁ ἐκ Παρθένου ἀνατείλας*, εἶτα ὁ Ν' ψαλμὸς, ὁ Κανὼν τοῦ Τριῳδίου χύμα· ἀπὸ γ' Ὠδῆς, τὰ Καθίσματα τοῦ Τριῳδίου, ἀφ' ς' τὸ Κοντάκιον καὶ ὁ Οἶκος, τὸ Μηνολόγιον καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου· ἀπ' θ' ψάλλεται ὁ Εἱρμὸς τῆς η' Ὠδῆς καὶ στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, τὰ Ἐξαποστειλάρια *Ὁ καὶ νεκρῶν καὶ ζώντων*, καὶ τὸ ἕτερον μετὰ τοῦ Θεοτοκίου. Εἰς τοὺς Αἴνους, τὰ Προσόμοια *Δεῦτε πρὸ τέλους πάντες ἀδελφοὶ* εἰς δ', Δόξα *Ὡς ἄνθος μαραίνεται*, Καὶ νῦν *Χαῖρε Μαρία Θεοτόκε*, τὸ *Σοὶ δόξα πρέπει*, τὸ *Πληρώσωμεν τὴν ἑωθινὴν* καὶ τὰ Νεκρώσιμα τοῦ ἤχου Ἀπόστιχα (ὅρα ἐν τῷ τέλει τοῦ Τριῳδίου), Δόξα *Ἄλγος τῷ Ἀδὰμ ἐχρημάτισε*, Καὶ νῦν *Σὺ εἶ ὁ Θεὸς ἡμῶν, Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι*, τὸ Τρισάγιον, τὸ *Ὁ βάθει σοφίας*, καὶ τὸ *Σὲ καὶ τεῖχος καὶ λιμένα*.

9. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ μετὰ τῶν Τροπαρίων τῆς γ' καὶ ς' Ὠδῆς τοῦ Κανόνος τοῦ Τριῳδίου. Μετὰ τὴν Εἴσοδον, τὸ Ἀπολυτίκιον *Ὁ βάθει σοφίας*, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, Κοντάκιον *Μετὰ τῶν Ἁγίων ἀνάπαυσον*, ὁ Ἀπόστολος *Οὐ θέλω ὑμᾶς ἀγνοεῖν* καὶ τὸ Εὐαγγέλιον *Βλέπετε μὴ πλανηθῆτε*. Εἰς τὸ Ἐξαιρέτως, *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Μακάριοι οὓς ἐξελέξω*, τὸ *Εἴδομεν τὸ φῶς* καὶ μετὰ τὸ *Εἴη τὸ ὄνομα Κυρίου*, ψάλλεται τὸ *Μετὰ πνευμάτων δικαίων* καὶ μνημονεύονται αὖθις τὰ ὀνόματα τῶν Κεκοιμημένων, ὡς ἐσημειώθη ἤδη, Πατριαρχῶν, Ἀρχιερέων, Ἱερέων, Ἱερομονάχων, Ἱεροδιακόνων, Μοναχῶν καὶ Μοναζουσῶν, καὶ πάντων τῶν ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης κεκοιμημένων εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, πατέρων, προπατόρων, πάππων, προπάππων, γονέων, ἀδελφῶν καὶ συγγενῶν ἡμῶν *Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ Σοὶ τὴν*

δόξαν ἀναπέμπομεν σὺν τῷ ἀνάρχῳ σου Πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν, καὶ ἡ Ἀπόλυσις.

Σημ. Ἐὰν συμπέσῃ τῷ Σαββάτῳ τῶν Ψυχῶν ἑορτὴ τοῦ Μηνολογίου, ὅρα τὴν τηρητέαν τάξιν ἐκεῖ.

ΚΥΡΙΑΚΗ ΤΗΣ ΑΠΟΚΡΕΩ

10. Τῷ Σαββάτῳ ἑσπέρας, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ ς' καὶ τοῦ Τριῳδίου δ', Δόξα *Ὅταν τίθωνται θρόνοι*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα *Οἱμοι μέλαινα ψυχὴ*, Καὶ νῦν *Ἀρύμφευτε Παρθένε*, Ἀπολυτίκιον Ἀναστάσιμον μετὰ τοῦ Θεοτοκίου καὶ Ἀπόλυσις.

11. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Τριαδικὸν κανόνα, τὸ Δόξα τῆς Λιτῆς τοῦ Τριῳδίου, Καὶ νῦν τὸ Θεοτοκίον καὶ τὰ *Ἄξιόν ἐστιν*, εἶτα τὰ γ' Κατανυκτικὰ τροπάρια καὶ ὁ Ἐξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον δὶς, καὶ τὸ Θεοτοκίον ἅπαξ, τὸ Ψαλτήριον καὶ ὁ Ἅμωμος, τὰ Καθίσματα κατὰ σειράν, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Πρακείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τοῦ Τριῳδίου μετὰ Στίχου *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι* ἀπὸ γ' Ὠδῆς, τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου καὶ τὸ Κάθισμα τοῦ Τριῳδίου μετὰ τοῦ Θεοτοκίου· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Τριῳδίου, τὸ Μηνολόγιον, καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου, αἱ Καταβασίαι *Βοηθὸς καὶ σκεπαστὴς*, καὶ ἅπασα ἡ ἐν ταῖς Κυριακαῖς τοῦ Τριῳδίου τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον καὶ τὰ τοῦ Τριῳδίου. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα ε' καὶ τοῦ Τριῳδίου γ', Δόξα *Προκαθάρωμεν ἑαυτοὺς ἀδελφοὶ*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

12. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰς ὁ' καὶ ὁ' ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τοῦ Τριῳδίου. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ Κοντάκιον *Ὅταν ἔλθῃς ὁ Θεὸς ἐπὶ γῆς μετὰ δόξης*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως, *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε*, *Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

13. Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλομεν ἐκ τῆς Ὀκτωήχου Στιχηρὰ γ' (ἐὰν μὴ ᾖ ἑορταζόμενος ὁ Ἅγιος), καὶ γ' τοῦ κατὰ τὴν ἡμέραν Ἁγίου, Δόξα Καὶ νῦν Προσόμοιον Θεοτοκίον, *Φῶς ἱλαρὸν* καὶ τὸ Προκείμενον τῆς ἡμέρας. Εἰς τὰ Ἀπόστιχα, τὸ Ἰδιόμελον *Λιχνευσάμενοι τὴν πρώτην ὑπέστημεν γύμνωσιν* δὶς, καὶ τὸ Μαρτυρικὸν, Δόξα Καὶ νῦν *Τὰ οὐράνια ὑμνεῖ σε*, *Νῦν ἀπολύεις*, τὸ Τριτάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, τὸ τοῦ ἤχου Θεοτοκίον (ὅρα ἐν τῷ Ὡρολογίῳ) καὶ Ἀπόλυσις.

Τῇ Δευτέρᾳ τῆς Τυρινῆς πρωὶ ψάλλεται ἡ Ἀκολουθία τῆς ἡμέρας, ὡς διατάττεται ἐν τῷ Τριῳδίῳ.

Τῇ Τρίτῃ καὶ τῇ Πέμπτῃ ἑσπέρας, μετὰ τὸ Τρισάγιον, ψάλλεται τὸ *Θεοτόκε Παρθένε* (διότι οὐ γίνεται Λειτουργία τῇ ἑπομένῃ ἡμέρᾳ)· ποιοῦμεν δὲ καὶ μετανοίας, τὸ *Κύριε ἐλέησον μ'*, Δόξα Καὶ νῦν *Τὴν τιμιωτέραν* καὶ Ἀπόλυσις[4].

Σημ. Τὴν Τετάρτην καὶ Παρασκευὴν γίνεται κατάλυσις ὁποία καὶ τὰς ἄλλας ἡμέρας τῆς ἑβδομάδος ταύτης, ἤτοι τυροῦ, ὠῶν καὶ ἰχθύος.

Τῇ Παρασκευῇ ἑσπέρας καὶ τῷ Σαββάτῳ πρωὶ ψάλλεται ἡ Ἀκολουθία τῶν ἐν ἀσκήσει λαμψάντων Θεοφόρων Πατέρων μετὰ τῆς Λειτουργίας τοῦ Χρυσοστόμου, ὡς διατάττεται ἐν τῷ Τριῳδίῳ.

---

4. *Ἰστέον ὅτι οὐ παρελάβομεν παρὰ τῶν Ἁγίων Πατέρων ποιεῖν τῇ Τετάρτῃ καὶ τῇ Παρασκευῇ τῆς Τυρινῆς Λειτουργίαν τελείαν, οὔτε Προηγιασμένην· ἂν ὅμως τύχωσι μεθέορτα τῆς Ὑπαπαντῆς, ἢ μνήμη ἑορταζομένου Ἁγίου, παραλείπονται τὰ τοῦ Τριῳδίου καὶ τελεῖται ἡ Λειτουργία τοῦ Χρυσοστόμου. Ἀποδοθείσης δὲ τῆς Ὑπαπαντῆς, εἰς τὰς μνήμας τῶν ἐν τῇ ἑβδομάδι ταύτῃ τυχόντων ἑορταζομένων Ἁγίων Καταβασίαι ψάλλονται* **Ἀνοίξω τὸ στόμα μου** *καὶ Κοντάκιον* **Προστασία τῶν χριστιανῶν** *(ὅρα περὶ τούτου καὶ ἐν τῇ Προθεωρίᾳ § 26).*

ΚΥΡΙΑΚΗ ΤΗΣ ΤΥΡΙΝΗΣ

14. Τῷ Σαββάτῳ ἑσπέρας, εἰς τὸ *Κύριε ἐκέκραξα* ἀναστάσιμα Στιχηρὰ ς' καὶ τοῦ Τριῳδίου δ', Δόξα *Ἐκάθισεν Ἀδάμ*, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου. Εἰς τὰ Ἀπόστιχα, τὰ ἀναστάσιμα Στιχηρὰ, Δόξα *Ἐξεβλήθη Ἀδὰμ τοῦ Παραδείσου*, Καὶ νῦν *Ὁ ποιητὴς καὶ λυτρωτής μου*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον μετὰ τοῦ Θεοτοκίου καὶ Ἀπόλυσις.

15. Τῇ Κυριακῇ εἰς τὸν Ὄρθρον, μετὰ τὸν Τριαδικὸν κανόνα, τὸ Δόξα τῆς Λιτῆς τοῦ Τριῳδίου, Καὶ νῦν τὸ Θεοτοκίον καὶ τὰ *Ἄξιόν ἐστιν*, εἶτα τὰ γ' Κατανυκτικὰ τροπάρια καὶ ὁ Ἑξάψαλμος. Εἰς τὸ *Θεὸς Κύριος*, τὸ ἀναστάσιμον Ἀπολυτίκιον δὶς καὶ τὸ Θεοτοκίον ἅπαξ, τὸ Ψαλτήριον καὶ ὁ Ἄμωμος, τὰ Καθίσματα κατὰ σειρὰν, τὰ Εὐλογητάρια, ἡ Ὑπακοὴ, οἱ Ἀναβαθμοὶ τοῦ ἤχου καὶ τὸ Προκείμενον. Κανόνες ὁ Ἀναστάσιμος καὶ ὁ τοῦ Τριῳδίου μετὰ Στίχου *Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι·* ἀπὸ γ' Ὠδῆς, τὸ ἀναστάσιμον Κοντάκιον μετὰ τοῦ Οἴκου, καὶ τὰ Καθίσματα τοῦ Τριῳδίου μετὰ τοῦ Θεοτοκίου· ἀφ' ς' Κοντάκιον καὶ Οἶκος τοῦ Τριῳδίου, τὸ Μηνολόγιον καὶ τὸ Ὑπόμνημα τοῦ Τριῳδίου, αἱ Καταβασίαι *Ὡς ἐν ἠπείρῳ πεζεύσας ὁ Ἰσραὴλ* καὶ ἅπασα ἡ ἐν ταῖς Κυριακαῖς τοῦ Τριῳδίου τάξις τοῦ Ἑωθινοῦ Εὐαγγελίου· εἶτα στιχολογοῦμεν *Τὴν τιμιωτέραν*, Ἐξαποστειλάρια, τὸ Ἀναστάσιμον καὶ τὰ δύο τοῦ Τριῳδίου. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα ε' καὶ τοῦ Τριῳδίου γ', Δόξα *Ἔφθασε καιρὸς*, Καὶ νῦν *Ὑπερευλογημένη*, Δοξολογία Μεγάλη καὶ τὸ *Σήμερον σωτηρία*.

16. Εἰς τὴν Λειτουργίαν, τὰ Τυπικὰ καὶ οἱ Μακαρισμοὶ τοῦ ἤχου εἰ ὁ καὶ ὁ' ἐκ τῆς ς' Ὠδῆς τοῦ Κανόνος τοῦ Τριῳδίου. Μετὰ τὴν Εἴσοδον, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ Κοντάκιον *Τῆς σοφίας ὁδηγὲ*, Ἀπόστολος καὶ Εὐαγγέλιον τῆς Κυριακῆς. Εἰς τὸ Ἐξαιρέτως, *Ἄξιόν ἐστιν*, Κοινωνικὸν *Αἰνεῖτε, Εἴδομεν τὸ φῶς* καὶ Ἀπόλυσις.

17. Τῇ αὐτῇ Κυριακῇ ἑσπέρας, εἰς τὸ *Κύριε ἐκέκραξα* Στιχηρὰ Κατανυκτικὰ τοῦ τυχόντος ἤχου δ' (ὅρα ἐν τῷ τέλει τοῦ Τριῳδίου τὰ τῶν ὀκτὼ ἤχων Κατανυκτικὰ), εἶτα τῆς σειρᾶς τοῦ

Τριῳδίου γ' καὶ τοῦ Μηναίου γ', Δόξα Καὶ νῦν Θεοτοκίον Προσόμοιον, Εἴσοδος (μετὰ θυμιατοῦ διὰ τὸ Μ. Προκείμενον), *Φῶς ἱλαρὸν*, τὸ Προκείμενον *Μὴ ἀποστρέψῃς* μετὰ τῶν Στίχων αὐτοῦ (ὅρα ἐν τῇ Προθεωρίᾳ § 9), τὸ *Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς* μέχρι τοῦ *Ὑπὲρ τοῦ ἀρχιεπισκόπου ἡμῶν* καὶ εὐθὺς *Ὅτι ἐλεήμων . . .* Εἰς τὰ Ἀπόστιχα, τὸ Ἰδιόμελον *Ἔλαμψεν ἡ χάρις σου Κύριε* δὶς, καὶ τὸ Μαρτυρικὸν *Ὁ ἐνδοξαζόμενος*, Δόξα Καὶ νῦν *Τῶν Ἀγγέλων αἱ τάξεις σε, Νῦν ἀπολύεις*, τὸ Τρισάγιον, καὶ τὸ *Θεοτόκε Παρθένε, Βαπτιστὰ τοῦ Χριστοῦ*, Δόξα *Ἱκετεύσατε ὑπὲρ ἡμῶν*, Καὶ νῦν *Ὑπὸ τὴν σὴν εὐσπλαγχνίαν*[5] τὸ *Κύριε ἐλέησον μ'*, *Ὃν ὦν εὐλογητὸς*, τὸ *Ἐπουράνιε βασιλεῦ*, τὰς τρεῖς μεγάλας μετανοίας, καὶ ἡ Ἀπόλυσις ἄνευ τοῦ *Δι' εὐχῶν*, μεθ' ἣν ὁ δ' Χορὸς ψάλλει τὸ *Πάντων προστατεύεις ἀγαθὴ*, τούτου δὲ ψαλλομένου, ὁ κλῆρος καὶ ὁ λαὸς ἀσπάζονται τὴν χεῖρα τοῦ Πατριάρχου (ἢ τοῦ Ἀρχιερέως ἢ Ἱερέως) λαμβάνοντες συγχώρησιν, καὶ εἶτα τὸ *Δι' εὐχῶν*.

Ὁ τύπος οὗτος ὀφείλει τηρεῖσθαι κατὰ πᾶσαν Κυριακὴν ἑσπέρας μέχρι τῆς Ε' Κυριακῆς τῶν Νηστειῶν.

---

5. *Τὸ Τροπάριον τοῦτο λέγεται ἄνευ μέλους χύμα καὶ πραείᾳ τῇ φωνῇ κατὰ τὰ ἀρχαῖα Τυπικὰ ἐπισυνάπτοντα καὶ τὸν λόγον τούτου* **Ὅτι εἰς αὐτὸ δὲν γίνεται μετάνοια**· *τὰ δὲ προηγούμενα τρία ψάλλονται μετὰ μέλους· ἀλλ' ὁ ἀοίδιμος Πατριάρχης Γρηγόριος ὁ ΣΤ' ἤθελεν ἵνα καὶ τοῦτο ψάλληται ὡς καὶ τὰ προηγούμενα· ψάλλονται δὲ καὶ κατὰ πάσας τὰς ἑφεξῆς Κυριακὰς ὡς καὶ τὴν Κυριακὴν τῶν Βαΐων ἑσπέρας, ἀλλὰ τὰς λοιπὰς ἡμέρας τῆς Μ. ἑβδομάδος λέγονται χύμα καὶ τὰ τέσσαρα.*

ΔΕΥΤΕΡΑ ΤΗΣ Α΄ ΕΒΔΟΜΑΔΟΣ

ΤΩΝ ΝΗΣΤΕΙΩΝ

ΔΙΑΤΑΞΙΣ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ

ΤΟΥ ΟΡΘΡΟΥ ΚΑΙ ΤΟΥ ΕΣΠΕΡΙΝΟΥ, ΜΕΤΑ ΤΗΣ ΛΕΙΤΟΥΡΓΙΑΣ

ΤΩΝ ΠΡΟΗΓΙΑΣΜΕΝΩΝ

18. Τῇ Δευτέρᾳ τῆς Α΄ ἑβδομάδος εἰς τὸν Ὄρθρον, ὁ Ἱερεὺς εἰσέρχεται εἰς τὸ Ἅγιον Βῆμα, φορεῖ ἐπιτραχήλιον, καὶ λαβὼν θυμιατὸν, ἵσταται ἐνώπιον τῆς ἁγίας Τραπέζης, θυμιῶν δὲ σταυροειδῶς, λέγει· *Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν·* ὁ Ἀναγνώστης τὸ Τρισάγιον, ὁ Ἱερεὺς *Ὅτι σοῦ ἐστιν,* ὁ Ἀναγνώστης *Κύριε ἐλέησον* ιβ΄ καὶ εὐθὺς ὁ Ἱερεὺς *Δόξα τῇ ἁγίᾳ* καὶ ὁμοουσίῳ . . . καὶ ὁ Προεστὼς λέγει τὸν Ἑξάψαλμον (ἐν πάσῃ σιωπῇ καὶ εὐλαβείᾳ τοῦ λαοῦ ἀκροωμένου) καὶ τὰ λοιπὰ τοῦ Ὄρθρου, ὡς ὁρίζεται κατωτέρω.

19. Τῇ Τρίτῃ καὶ ταῖς λοιπαῖς ἡμέραις τῆς Τεσσαρακοστῆς (ἐξαιρουμένου τοῦ Σαββάτου καὶ τῆς Κυριακῆς), ὁ Ὄρθρος ἄρχεται ὡς ἑξῆς: ὁ Ἱερεὺς *Εὐλογητὸς ὁ Θεός . . . Δόξα σοι ὁ Θεὸς ἡμῶν δόξα σοι . .* τὸ *Βασιλεῦ οὐράνιε,* τὸ Τρισάγιον *Ὅτι σοῦ ἐστιν, Κύριε ἐλέησον* ιβ΄, *Δόξα* Καὶ νῦν *Δεῦτε προσκυνήσωμεν* γ΄, τὸν Ν΄ ψαλμὸν, καὶ ἀναγινώσκει τὸ Μεσονυκτικὸν ὡς ἐστι διατεταγμένον ἐν τῷ Ὡρολογίῳ· μετὰ τὸ τέλος, εὐθὺς τὰ Κατανυκτικὰ *Ἐλέησον ἡμᾶς, Κύριε, ἐλέησον ἡμᾶς* καὶ τὰ λοιπὰ δύο Τροπάρια, εἶτα τὸ *Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν . . .*

ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν . . . ὑπὲρ τοῦ διαφυλαχθῆναι . . . ἐπάκουσον ἡμῶν κτλ. *Ἐλεήμων γὰρ καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι . . .* καὶ ἡ μικρὰ Ἀπόλυσις· τὸ *Εὐξώμεθα ὑπὲρ εἰρήνης τοῦ κόσμου* κτλ. καὶ τὸ *Δι' εὐχῶν.* Εἶτα εἰσέρχεται εἰς τὸ Ἱερὸν καὶ ποιεῖ *Εὐλογητὸν,* ὁ Ἀναγνώστης τὸ Τριτάγιον, ὁ Ἱερεὺς *Ὅτι σοῦ ἐστιν,* ὁ Ἀναγνώστης τὰ γ΄ Τροπάρια *Σῶσον Κύριε, Ὁ ὑψωθεὶς, Προστασία φοβερὰ,* ὁ Ἱερεὺς *Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου . . . ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν . . ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν . . . Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος ...* ὁ Ἀναγνώστης *Ἐν ὀνόματι Κυρίου ...* ὁ Ἱερεὺς *Δόξα τῇ ἁγίᾳ . .* καὶ ἀναγινώσκεται ὁ Ἑξάψαλμος (τὰ ἑπόμενά εἰσι κοινὰ καὶ διὰ τὴν Δευτέραν).

Μετὰ τὸν Ἑξάψαλμον, ἡ Μ. Συναπτὴ καὶ ψάλλεται τὸ *Ἀλληλούϊα* εἰς τὸν τυχόντα ἦχον τετράκις ἀνὰ τρὶς μετὰ τῶν Στίχων *Ἐκ νυκτὸς ὀρθρίζει τὸ πνεῦμά μου* κτλ. καὶ τὰ κατ' ἦχον Τριαδικὰ Τροπάρια (ὅρα ἐν τῷ τέλει τοῦ Τριῳδίου ἢ τοῦ Ὡρολογίου)[6]. Εἶτα στιχολογοῦνται τὰ ὡρισμένα Καθίσματα τοῦ Ψαλτηρίου, καὶ μετὰ τὴν Αἴτησιν, τὰ κατανυκτικὰ Καθίσματα τῆς α΄ Στιχολογίας τοῦ ἤχου (ὅρα ἐν τῷ τέλει τοῦ Τριῳδίου) καὶ τὰ τῆς ἡμέρας τῆς δ΄ καὶ γ΄ Στιχολογίας, εἶτα ὁ Ν΄ ψαλμὸς, τὸ *Σῶσον ὁ Θεὸς τὸν λαόν σου, Κύριε ἐλέησον* ιβ΄, *Ἐλέει καὶ οἰκτιρμοῖς,* καὶ εὐθὺς ἡ Στιχολογία τῶν θ΄ Ὠδῶν.

Αἱ θ΄ Ὠδαὶ στιχολογοῦνται ὁλόκληροι μὲν ἐκεῖναι τῶν ὁποίων ὑπάρχουσιν ἐν τῷ Τριῳδίῳ Τριῴδια, ἡ ἀρχὴ δὲ μόνον καὶ οἱ τελευταῖοι Στίχοι τῶν λοιπῶν Ὠδῶν· ἀλλ' ἡ η΄ καὶ ἡ θ΄ ἡ τοῦ Ζαχαρίου (διότι ἡ τῆς Θεοτόκου θ΄ στιχολογεῖται εἰς *Τὴν τιμιωτέραν* πάντοτε) στιχολογοῦνται ὁλόκληροι καθ' ἑκάστην· οὕτω λοιπὸν τὴν Δευτέραν στιχολογεῖται ὁλόκληρος ἡ α΄ Ὠδὴ *Ἄσωμεν τῷ Κυρίῳ,* εἶτα ἡ ἀρχὴ καὶ οἱ δύο τελευταῖοι Στίχοι μετὰ τοῦ Δόξα Καὶ νῦν

---

6. Εἰς τὸ τέλος ἑκάστου πρώτου Τριαδικοῦ γίνεται μνεία τοῦ Ἁγίου τῆς ἡμέρας, δευτέρου δὲ τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ τρίτου τῆς Θεοτόκου, ὡς σημειοῦται καὶ περαιτέρω εἰς τὸ Φωταγωγικόν (ὅρα ὑποσημ. 10).

λιον κρατοῦντες δικηροτρίκηρα, ὁ δὲ ἐνδύεται Ἐπιτραχήλιον καὶ Ὠμοφόριον· πληρωθέντος δὲ τοῦ Καθίσματος *Ἐν τῷ δείπνῳ τοὺς μαθητὰς διατρέφων*, ὁ Τριτεύων ἐκφωνεῖ *Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς*, ὁ Πατριάρχης *Εἰρήνη πᾶσι*, οἱ Χοροὶ *Καὶ μετὰ τοῦ πνεύματός σου*, ὁ Ἀρχιερεὺς ἔρχεται παρὰ τῷ Τρισκελλίῳ καὶ ἀναγινώσκει τὸ Β΄ Εὐαγγέλιον, οὗ πληρωθέντος, ὁ α΄ Χορὸς ψάλλει συντόμως τὸ *Δόξα τῇ μακροθυμίᾳ σου, Κύριε, δόξα σοι*, ὅπερ ψάλλεται ἐναλλὰξ ὑπὸ τῶν Χορῶν εἰς ἕκαστον τῶν Εὐαγγελίων, ἐξαιρουμένου τοῦ τελευταίου· ἡ δὲ πρὸς τοὺς χοροστατοῦντας καὶ μέλλοντας ἀναγνώσειν τὰ ἱερὰ Εὐαγγέλια Ἀρχιερεῖς παρὰ τοῦ Ἐκκλησιάρχου πρόσκλησις ἐπαναλαμβάνεται εἰς ἕνα ἕκαστον τῶν Ἀρχιερέων κατὰ τάξιν μέχρι τοῦ τελευταίου. Μετὰ τοὺς Ἀρχιερεῖς τὰ ἐναπολειπόμενα Εὐαγγέλια ἀναγινώσκονται ὑπὸ τοῦ Μ. Πρωτοσυγκέλλου, τοῦ Ἀρχιγραμματέως, τοῦ Μ. Ἀρχιμανδρίτου, τοῦ Συγκέλλου καὶ καθεξῆς· διὰ τούτους ὅμως οἱ Διάκονοι ἔσωθεν τοῦ Βήματος ἱστάμενοι ἐκφωνοῦσιν ἐκ περιτροπῆς τὸ *Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς*. Πληρωθέντος τοῦ Β΄ Εὐαγγελίου, ἄρχεται ὁ δ΄ χορὸς ψάλλειν τὸ δ΄ Ἀντίφωνον μέχρι τοῦ Καθίσματος *Ποῖός σε τρόπος Ἰούδα*, καὶ ἀναγινώσκεται τὸ Γ΄ Εὐαγγέλιον· μετὰ τὸ τέλος, ὁ δ΄ Χορὸς τὸ *Δόξα τῇ μακροθυμίᾳ σου Κύριε*, καὶ ὁ α΄ Χορὸς ψάλλει τὸ ζ΄ Ἀντίφωνον μέχρι τοῦ Καθίσματος *Ὦ πῶς Ἰούδας ὁ ποτέ σου μαθητὴς* καὶ ἀναγινώσκεται τὸ Δ΄ Εὐαγγέλιον. Εἶτα ὁ δ΄ Χορὸς τὸ ι΄ Ἀντίφωνον μέχρι τοῦ Καθίσματος *Ὅτε παρέστης τῷ Καϊάφᾳ ὁ Θεὸς* καὶ ἀναγινώσκεται τὸ Ε΄ Εὐαγγέλιον· μετὰ τοῦτο, ὁ α΄ Χορὸς τὸ ιγ΄ Ἀντίφωνον μέχρι τοῦ Θεοτοκίου τροπαρίου *Χαῖρε ἡ δι' Ἀγγέλου τὴν χαρὰν τοῦ κόσμου δεξαμένη*· τότε ὁ Μ. Ἀρχιμανδρίτης ἐνδεδυμένος Ἐπιτραχήλιον καὶ Φελώνιον, αἴρει τὸν Ἐσταυρωμένον καὶ ποιήσας κύκλον περὶ τὴν ἁγίαν Τράπεζαν, ψάλλων κατὰ τὸ ὕφος τοῦ Εὐαγγελίου ἐν κατανύξει τὸ Ἰδιόμελον *Σήμερον κρεμᾶται ἐπὶ ξύλου*, ἐξέρχεται τῆς βορείου τοῦ ἱεροῦ Βήματος πύλης προπορευομένων τοῦ Πριμικηρίου, τῶν Λαμπαδούχων, καὶ δύο Διακόνων θυμιώντων καὶ φθάνει εἰς τὸ μέσον τοῦ Ναοῦ ἔνθα πήγνυται ὁ Σταυρός[1]· ὁ δὲ α΄ Χορὸς ἐπαναλαμ-

1. *Ἐν τῷ πατριαχικῷ ναῷ (ὡς καὶ ἐν Ἁγίῳ Ὄρει μέχρι τοῦδε) ἡ ἔξοδος αὕτη τοῦ Ἐσταυρωμένου οὐκ ἐγίνετο μέχρι τῆς πατριαρχείας*

βάνει τὸ αὐτὸ Ἰδιόμελον ψάλλων αὐτὸ εἰς τὸν ἦχόν του· εἶτα ὁ δ΄ Χορὸς *Μὴ ὡς Ἰουδαῖοι ἑορτάσωμεν* κτλ. μέχρι τοῦ Καθίσματος *Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ Νόμου* καὶ ἀναγινώσκεται τὸ ς΄ Εὐαγγέλιον. Μετὰ ταῦτα ὁ α΄ Χορὸς ἄρχεται τῶν Μακαρισμῶν *Ἐν τῇ βασιλείᾳ σου μνήσθητι ἡμῶν, Κύριε*, ὁ δὲ δ΄ Χορὸς ἐρχόμενος εἰς τὸν Μακαρισμὸν *Μακάριοι οἱ πεινῶντες καὶ διψῶντες τὴν δικαιοσύνην* ψάλλει τὸ τροπάριον *Διὰ ξύλου ὁ Ἀδὰμ*, καὶ τὰ λοιπὰ μετὰ τῶν ὑπολοίπων Μακαρισμῶν· μετὰ δὲ τὸ Καὶ νῦν *Τὴν Μητέρα σου Χριστὲ*, ψάλλεται τὸ Προκείμενον *Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς* ἐκ γ΄ μετὰ τῶν Στίχων αὐτοῦ, καὶ ἀναγινώσκεται τὸ Ζ΄ Εὐαγγέλιον. Εἶτα ὁ Πατριάρχης τὸν Ν΄ ψαλμὸν χύμα, καὶ ἀναγινώσκεται τὸ Η΄ Εὐαγγέλιον. Μετὰ τοῦτο ἄρχεται ὁ α΄ Χορὸς ψάλλειν τὸν Κανόνα *Πρὸς σὲ ὀρθρίζω τὸν δι' εὐσπλαγχνίαν* ἀνὰ δ΄ τροπάρια μετὰ τοῦ *Δόξα σοι ὁ Θεὸς* ἐν ἑκάστῃ Ὠδῇ, καὶ τὸν Εἱρμὸν ἐπαναλαμβανόμενον εἰς τὸ τέλος· μετὰ τὸν Εἱρμὸν ἡ Αἴτησις, καὶ μετὰ τὴν Ἐκφώνησιν τὸ Κοντάκιον, ὁ Οἶκος, τὸ Μηνολόγιον καὶ τὸ Ὑπόμνημα τῆς Μ. Παρασκευῆς. Μετὰ ταῦτα ἄρχεται ὁ δ΄ Χορὸς τὴν η΄ Ὠδήν, μετὰ δὲ τὸν Εἱρμὸν ὁ Διάκονος ἐκφωνεῖ *Τὴν Θεοτόκον καὶ μητέρα τοῦ Φωτὸς*, καὶ ὁ Πατριάρχης ἄρχεται ψάλλειν τὴν θ΄ Ὠδὴν *Τὴν τιμιωτέραν τῶν Χερουβὶμ*, μετὰ τὸν Εἱρμὸν ἡ Αἴτησις, καὶ ἀκολούθως ψάλλει τὸ Ἐξαποστειλάριον *Τὸν ληστὴν αὐθημερὸν* ὅπερ ψάλλεται ἐκ γ΄ ψαλλομένου τοῦ Ἐξαποστειλαρίου ἔρχεται ὁ Πριμικήριος καὶ ἵσταται ἐν τῷ ὡρισμένῳ τόπῳ, ὡς εἴθισται· μετὰ τὸ Ἐξαποστειλάριον ἀναγινώσκεται τὸ Θ΄ Εὐαγγέλιον, μετ' αὐτὸ δὲ ὁ α΄ Χορὸς ψάλλει τὸ *Πᾶσα πνοή*. Εἰς τὸ *Αἰνεῖτε* ὁ Πατριάρχης κατέρχεται τοῦ θρόνου καὶ προσκυνεῖ τὸν Ἐσταυρωμένον καὶ εὐλογήσας τὸν λαὸν, τοῦ α΄ Χοροῦ ψάλλοντος τὸ *Εἰς πολλὰ ἔτη*, ἀνέρχεται αὖθις καὶ ἵσταται εἰς τὸν θρόνον, οἱ δὲ Χοροὶ ψάλλουσι τὰ δ΄ τῶν Αἴνων Ἰδιόμελα· μετὰ τὸ Καὶ νῦν *Τὸν νῶτόν μου ἔδωκα εἰς μαστίγωσιν*

Σωφρονίου τοῦ ἀπὸ Ἀμασείας (1864), καθόσον οὔτε τὸ Τριῴδιον σημειοῖ τοιαύτην τινὰ τάξιν, οὔτε τὸ ἀρχαῖον Τυπικόν· ἤδη ὅμως καθιερώθη, οὕτως εἰπεῖν, καὶ ὁ λαὸς φαίνεται ποθῶν ἵνα εὐλαβῶς προσκυνήσῃ τῇ ὥρᾳ ταύτῃ τὸν διὰ τὰς ἡμετέρας ἁμαρτίας ἀναρτηθέντα ἐπὶ τοῦ ξύλου τοῦ Σταυροῦ Θεάνθρωπον.

ἀναγινώσκεται τὸ Γ' Εὐαγγέλιον, εἶτα ὁ Πατριάρχης τὸ *Σοὶ δόξα πρέπει, Κύριε, ὁ Θεὸς ἡμῶν χύμα*, καὶ μετὰ τὸ τέλος ὁ Μ. Ἀρχιμανδρίτης τὸ *Πληρώσωμεν τὴν Ἑωθινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ* κτλ. καὶ μετὰ τὴν Ἐκφώνησιν *Σὸν γάρ ἐστι τὸ ἐλεεῖν καὶ σώζειν ἡμᾶς* ἀναγινώσκεται τὸ ΙΑ' Εὐαγγέλιον· εἶτα ἄρχονται ψάλλεσθαι τὰ Ἀπόστιχα ἀπὸ τοῦ Β' Χοροῦ, ὁ δὲ Μ. Ἀρχιδιάκονος μεταξὺ τούτου ποιήσας τῷ Πατριάρχῃ σχῆμα εἰσέρχεται εἰς τὸ Ἱερὸν καὶ ἐνδύεται τὴν στολὴν αὐτοῦ ὅπως ἀναγνώσῃ τὸ τελευταῖον Εὐαγγέλιον. Ψαλλομένου τοῦ Καὶ νῦν *Ἤδη βάπτεται κάλαμος* ὑπὸ τοῦ α' Χοροῦ, ὁ Μ. Ἀρχιδιάκονος ἐξέρχεται μετὰ τοῦ ἱεροῦ Εὐαγγελίου καὶ ἔρχεται πρὸς τὸν Πατριάρχην καὶ κύψας λέγει *Εὐλόγησον Δέσποτα τὸν Εὐαγγελιστήν*, ὁ Πατριάρχης ἐπιθεὶς τὴν χεῖρα, λέγει *Ὁ Θεὸς διὰ πρεσβειῶν τοῦ ἁγίου ἐνδόξου Ἀποστόλου* κτλ. ὁ δὲ ἐπειπὼν τρὶς τὸ *Ἀμήν*, εἰσέρχεται εἰς τὸ Ἱερὸν, καὶ ἐξελθὼν διὰ τῆς Βορείου πύλης ἀνέρχεται εἰς τὸν Ἄμβωνα. Μετὰ τὸ τέλος τοῦ Ἰδιομέλου, ὁ Μ. Ἀρχιμανδρίτης ἱστάμενος εἰς τὴν Ὡραίαν πύλην ἐκφωνεῖ *Σοφία, ὀρθοὶ, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου*, ὁ Πατριάρχης *Εἰρήνη πᾶσι*, οἱ Χοροὶ *Καὶ τῷ πνεύματί σου*, ὁ Ἀρχιδιάκονος ἀπὸ τοῦ Ἄμβωνος *Ἐκ τοῦ κατὰ Ματθαῖον ἁγίου Εὐαγγελίου*, καὶ ἀναγινώσκει τὸ ΙΒ' καὶ τελευταῖον Εὐαγγέλιον *Τῇ ἐπαύριον ἤτις ἐστὶ μετὰ τὴν Παρασκευήν*· μετὰ τὸ τέλος, ὁ Πατριάρχης εὐλογεῖ, οἱ δὲ Χοροὶ ψάλλουσι τὸ *Εἰς πολλὰ ἔτη*, ὁ Ἀρχιδιάκονος κατελθὼν ἀπὸ τοῦ Ἄμβωνος φέρει τὸ ἱερὸν Εὐαγγέλιον τῷ Πατριάρχῃ πρὸς ἀσπασμὸν, καὶ ἀσπασάμενος τὴν χεῖρα τοῦ Πατριάρχου εἰσέρχεται εἰς τὸ Ἱερόν. Μετὰ ταῦτα ὁ Πατριάρχης λέγει τὸ *Ἀγαθὸν τῷ ἐξομολογεῖσθαι τῷ Κυρίῳ*, ὁ δὲ Ἀναγνώστης Ἱερεὺς τὸ Τρισάγιον, καὶ ὁ Μ. Ἀρχιμανδρίτης *Ὅτι σοῦ ἐστιν ἡ βασιλεία*· τότε οἱ Χοροὶ ψάλλουσιν ἐκ τρίτου τὸ Ἀπολυτίκιον τροπάριον *Ἐξηγόρασας ἡμᾶς ἐκ τῆς κατάρας τοῦ νόμου τῷ τιμίῳ σου αἵματι*· εἶτα ὁ Μ. Ἀρχιμανδρίτης ἔστωθεν, *Ἐλέησον ἡμᾶς ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου . . . ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν . . . Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις*· ὁ Ἱεροδιάκονος *Σοφία*, ὁ Ἀρχιμανδρίτης *Ὁ ὢν εὐλογητὸς Θεὸς ἡμῶν*, ὁ Πατριάρχης *Στερεώσαι Κύριος ὁ Θεὸς*, ὁ Μ. Ἀρχιμανδρίτης *Δόξα*

σοι, Χριστὲ ὁ Θεὸς, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι, ὁ δι' ὑπερβάλλουσαν ἀγαθότητα κτλ. ὁ Πατριάρχης εὐλογῶν τὸν λαὸν ἀπὸ τοῦ θρόνου, τῶν Χορῶν ψαλλόντων *Τὸν δεσπότην καὶ Ἀρχιερέα ἡμῶν*, κατέρχεται τοῦ θρόνου, καὶ ποιήσας τρὶς τὸ σημεῖον τοῦ Σταυροῦ ἐξέρχεται τοῦ Ναοῦ μετὰ τῆς αὐτῆς παραταξεως, τοῦ Ἱερέως ἐκφωνοῦντος ἀπὸ τοῦ Βήματος *Δι' εὐχῶν τοῦ ἁγίου Δεσπότου ἡμῶν*, φθάσας δὲ εἰς τὸν Νάρθηκα ἀποδύεται τὸν Μανδύαν καὶ ἀνερχόμενος τὰς βαθμίδας τοῦ Νάρθηκος, στραφεὶς εὐλογεῖ, τοῦ Μ. Πριμικηρίου ἐκφωνοῦντος τὸν Πολυχρονισμὸν αὐτοῦ[2], ἀνελθὼν δὲ τὴν μεγάλην τῆς Πρωτοσυγκελίας κλίμακα ἵσταται εἰς τὸν ἐξώστην καὶ εὐλογήσας αὖθις τὸν ἐν τῷ περιβόλῳ τοῦ Ναοῦ ἱστάμενον λαὸν, ἀναμένοντα καὶ τελευταῖον τὴν πατριαρχικὴν Εὐλογίαν, εἰσέρχεται διὰ τοῦ διαδρόμου τῆς Πρωτοσυγκελλίας εἰς τὰ πατριαρχικὰ δωμάτια.

2. «*Πολυχρόνιον ποιήσαι Κύριος ὁ Θεὸς τὸν παναγιώτατον καὶ σεβασμιώτατον ἡμῶν αὐθέντην καὶ Δεσπότην τὸν Οἰκουμενικὸν Πατριάρχην, κύριον κύριον (δεῦτα), Κύριε φύλαττε αὐτὸν εἰς πολλὰ ἔτη. Ἀμήν*».

ΔΙΑΤΑΞΙΣ ΤΗΣ ΑΚΟΛΟΥΘΙΑΣ

ΕΓΚΑΙΝΙΩΝ ΝΑΟΥ

Α'.

Ἂν τύχωσιν Ἐγκαίνια Ναοῦ ἐν μνήμῃ ἑορταζομένου Ἁγίου, ἐν τῷ Ἑσπερινῷ εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλονται Στιχηρὰ τῶν Ἐγκαινίων δ', τοῦ ἑορταζομένου Ἁγίου γ', καὶ γ' τοῦ Ἁγίου τοῦ ἐγκαινιαζομένου Ναοῦ, Δόξα τοῦ ἑορταζομένου Ἁγίου, Καὶ νῦν τῶν Ἐγκαινίων, Ἀναγνώσματα β' τῶν Ἐγκαινίων καὶ ἓν τοῦ ἑορταζομένου Ἁγίου, τὰ Ἀπόστιχα τοῦ ἑορταζομένου Ἁγίου, Δόξα τοῦ Ἁγίου τοῦ Ναοῦ, Καὶ νῦν τῶν Ἐγκαινίων, τὸ Ἀπολυτίκιον τοῦ ἑορταζομένου Ἁγίου, τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ τῶν Ἐγκαινίων.

Εἰς τὸν Ὄρθρον, τὰ Καθίσματα τοῦ ἑορταζομένου Ἁγίου καὶ τῶν Ἐγκαινίων ἀντὶ Θεοτοκίων, ὁ Κανὼν τῶν Ἐγκαινίων, τοῦ ἑορταζομένου Ἁγίου καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ ἀνὰ δ', τὸ Ἐξαποστειλάριον τοῦ ἑορταζομένου Ἁγίου, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ τῶν Ἐγκαινίων. Εἰς τοὺς Αἴνους, τῶν Ἐγκαινίων β', τοῦ ἑορταζομένου Ἁγίου γ', καὶ γ' τοῦ Ἁγίου τοῦ Ναοῦ, Δόξα τοῦ Ἁγίου τοῦ Ναοῦ (ἐὰν μὴ ᾖ ἑορτὴ τῶν Ἀποστόλων, ἢ τοῦ Προδρόμου, ἢ τῶν Εὐαγγελιστῶν, ἤ τινος τῶν ἐπισήμως ἑορταζομένων Ἁγίων), Καὶ νῦν τῶν Ἐγκαινίων, ἡ Μεγάλη Δοξολογία καὶ τὸ Ἀπολυτίκιον τῶν Ἐγκαινίων.

Β'.

Ἂν τύχωσιν ἐν Κυριακῇ, εἰς τὸ *Κύριε ἐκέκραξα* ψάλλονται Ἀναστάσιμα δ', τῶν Ἐγκαινίων γ', καὶ τοῦ Ἁγίου τοῦ Ναοῦ γ', Δόξα τοῦ Ἁγίου τοῦ Ναοῦ, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, τὰ Ἀναγνώσματα τῶν Ἐγκαινίων, τὰ ἀναστάσιμα Ἀπόστιχα, Δόξα τοῦ Ἁγίου τοῦ Ναοῦ, Καὶ νῦν τῶν Ἐγκαινίων, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ τῶν Ἐγκαινίων.

Εἰς τὸν Ὄρθρον, τὰ ἀναστάσιμα Καθίσματα μετὰ τῶν Ἐγκαινίων ἀντὶ Θεοτοκίων, ὁ ἀναστάσιμος Κανὼν, ὁ τῶν Ἐγκαινίων, καὶ ὁ τοῦ Ἁγίου τοῦ Ναοῦ, τὸ ἀναστάσιμον Ἐξαποστειλάριον, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ τῶν Ἐγκαινίων. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα δ' καὶ τῶν Ἐγκαινίων δ', Δόξα, τοῦ Ἁγίου τοῦ Ναοῦ, Καὶ νῦν τῶν Ἐγκαινίων, ἡ Μεγάλη Δοξολογία καὶ τὸ *Σήμερον σωτηρία*.

Γ'.

Ἂν τύχωσιν ἐν Κυριακῇ μετὰ μνήμης ἑορταζομένου Ἁγίου, ἐν τῷ Ἑσπερινῷ Ἀναστάσιμα γ', τῶν Ἐγκαινίων β', τοῦ ἑορταζομένου Ἁγίου γ' καὶ β' τοῦ Ἁγίου τοῦ Ναοῦ, Δόξα τοῦ ἑορταζομένου Ἁγίου, Καὶ νῦν τὸ α' Θεοτοκίον τοῦ ἤχου, Ἀναγνώσματα β' τῶν Ἐγκαινίων καὶ ἓν τοῦ ἑορταζομένου Ἁγίου, τὰ ἀναστάσιμα Ἀπόστιχα, Δόξα τοῦ Ἁγίου τοῦ Ναοῦ, Καὶ νῦν τῶν Ἐγκαινίων, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τοῦ ἑορταζομένου Ἁγίου, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ τῶν Ἐγκαινίων.

Εἰς τὸν Ὄρθρον, τὰ ἀναστάσιμα Καθίσματα, τοῦ ἑορταζομένου Ἁγίου καὶ τῶν Ἐγκαινίων ἀντὶ τῶν Θεοτοκίων, ὁ ἀναστάσιμος Κανὼν, ὁ τῶν Ἐγκαινίων, καὶ ὁ τοῦ ἑορταζομένου Ἁγίου, τὸ ἀναστάσιμον Ἐξαποστειλάριον, τοῦ ἑορταζομένου Ἁγίου, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ τῶν Ἐγκαινίων. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα γ', τῶν Ἐγκαινίων β', καὶ γ' τοῦ ἑορταζομένου Ἁγίου, Δόξα τοῦ Ἁγίου τοῦ Ναοῦ (ἐὰν μὴ ᾖ, ὡς προείρηται, ἡ μνήμη ἐπισήμως ἑορταζομένου Ἁγίου), Καὶ νῦν τῶν Ἐγκαινίων, ἡ Μεγάλη Δοξολογία καὶ τὸ *Σήμερον σωτηρία*.

Δ'.

Ἂν τύχωσιν ἐν Θεομητορικῇ ἑορτῇ, ἐν τῷ Ἑσπερινῷ ψάλλονται Στιχηρὰ τῆς ἑορτῆς δ', τῶν Ἐγκαινίων γ', καὶ γ' τοῦ Ἁγίου τοῦ Ναοῦ, Δόξα τῆς ἑορτῆς, Καὶ νῦν τῶν Ἐγκαινίων, Ἀναγνώσματα δ' τῆς ἑορτῆς· καὶ ἓν τῶν Ἐγκαινίων, τὰ Ἀπόστιχα τῆς ἑορτῆς, Δόξα τοῦ Ἁγίου τοῦ Ναοῦ, Καὶ νῦν τῆς ἑορτῆς, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς, τῶν Ἐγκαινίων, τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ αὖθις τὸ τῆς ἑορτῆς.

Εἰς τὸν Ὄρθρον καὶ εἰς τὰς γ' Στιχολογίας, τὸ Κάθισμα τῆς ἑορτῆς, τῶν Ἐγκαινίων, καὶ αὖθις τὸ τῆς ἑορτῆς, οἱ Κανόνες τῆς ἑορτῆς καὶ ὁ τῶν Ἐγκαινίων, τὸ Ἐξαποστειλάριον τῆς ἑορτῆς, τῶν Ἐγκαινίων, τοῦ Ἁγίου καὶ αὖθις τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, τῆς ἑορτῆς δ', τῶν Ἐγκαινίων δ', καὶ τοῦ Ἁγίου δ', Δόξα τῆς ἑορτῆς, Καὶ νῦν τῶν Ἐγκαινίων, ἡ Μεγάλη Δοξολογία καὶ τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς.

Ε'.

Ἂν τύχωσιν ἐν Δεσποτικῇ ἑορτῇ, ἐν τῷ Ἑσπερινῷ ψάλλονται τῆς ἑορτῆς ς' καὶ δ' τῶν Ἐγκαινίων, Δόξα τῆς ἑορτῆς, Καὶ νῦν τῶν Ἐγκαινίων, Ἀναγνώσματα τῆς ἑορτῆς δ' καὶ ἓν τῶν Ἐγκαινίων, τὰ Ἀπόστιχα τῆς ἑορτῆς, Δόξα τοῦ Ἁγίου τοῦ Ναοῦ, Καὶ νῦν τῆς ἑορτῆς, τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς, τῶν Ἐγκαινίων, τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ αὖθις τὸ τῆς ἑορτῆς.

Εἰς τὸν Ὄρθρον καὶ εἰς τὰς γ' Στιχολογίας, τὸ Κάθισμα τῆς ἑορτῆς, τῶν Ἐγκαινίων, καὶ αὖθις τὸ τῆς ἑορτῆς, οἱ Κανόνες τῆς ἑορτῆς καὶ ὁ τῶν Ἐγκαινίων, τὸ Ἐξαποστειλάριον τῆς ἑορτῆς, τῶν Ἐγκαινίων, τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ αὖθις τὸ τῆς ἑορτῆς. Εἰς τοὺς Αἴνους, τῆς ἑορτῆς δ', τῶν Ἐγκαινίων δ' καὶ τοῦ Ἁγίου δ', Δόξα τῆς ἑορτῆς, Καὶ νῦν τῶν Ἐγκαινίων, ἡ Μεγάλη Δοξολογία καὶ τὸ Ἀπολυτίκιον τῆς ἑορτῆς.

Ϛ'.

Ἂν τύχωσιν ἐν Κυριακῇ μετὰ Θεομητορικῆς ἑορτῆς, ἐν τῷ Ἑσπερινῷ ψάλλονται Ἀναστάσιμα δ', τῆς ἑορτῆς δ', καὶ δ' τῶν

Ἐγκαινίων, Δόξα τῆς ἑορτῆς, Καὶ νῦν τῶν Ἐγκαινίων, Ἀναγνώσματα δ' τῆς ἑορτῆς, καὶ ἓν τῶν Ἐγκαινίων, τὰ ἀναστάσιμα Ἀπόστιχα, Δόξα τοῦ Ἁγίου τοῦ Ναοῦ, Καὶ νῦν τῆς ἑορτῆς, τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ τῆς ἑορτῆς, τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ τῶν Ἐγκαινίων.

Εἰς τὸν Ὄρθρον, τὰ ἀναστάσιμα Καθίσματα, τῶν Ἐγκαινίων καὶ τὰ τῆς ἑορτῆς, ὁ ἀναστάσιμος Κανών, ὁ τῆς ἑορτῆς καὶ ὁ τῶν Ἐγκαινίων, τὸ ἀναστάσιμον Ἐξαποστειλάριον, τὸ τῆς ἑορτῆς, τοῦ Ἁγίου τοῦ Ναοῦ, καὶ τῶν Ἐγκαινίων. Εἰς τοὺς Αἴνους, Ἀναστάσιμα γ', τῆς ἑορτῆς γ', καὶ δ' τοῦ Ἁγίου, Δόξα τῆς ἑορτῆς, Καὶ νῦν τῶν Ἐγκαινίων, ἡ Μεγάλη Δοξολογία καὶ τὸ *Σήμερον σωτηρία.*

Ἀπόστολος καὶ Εὐαγγέλιον ἐν ἑκάστῃ τῶν προταχθεισῶν περιπτώσεων ὁρίζονται ὑπὸ τοῦ Τελετουργοῦ ἀναλόγως τῆς τυχούσης ἑορτῆς.

Η ΤΕΛΕΤΗ ΤΩΝ ΕΓΚΑΙΝΙΩΝ.

Ὀφείλει ὁ Ἀρχιερεὺς ἔχειν προητοιμασμένα τὰ ἀπαιτούμενα εἰς τὴν καθιέρωσιν καὶ τὸν Ἐγκαινιασμὸν τοῦ Ναοῦ διάφορα εἴδη ὡς ἐν τῷ Εὐχολογίῳ σημειοῦνται· καὶ ἀφ' ἑσπέρας ἀπέρχεται μετὰ τοῦ Κλήρου εἰς τὸν νέον Ναὸν καὶ καταρτίζει πρὸ τοῦ Ἑσπερινοῦ τὰ ἅγια Λείψανα εἰς μερίδας τρεῖς ἐπὶ τῆς ἁγίας Τραπέζης· καὶ τεθέντων τούτων ἔνδον τοῦ Δισκαρίου καὶ ἄνωθεν ἀστερίσκου καὶ καλυφθέντων μετὰ καλύμματος, ποιεῖ *Εὐλογητὸν*, τὸ Τρισάγιον, *Ὅτι σοῦ*, καὶ ψάλλονται τὰ Τροπάρια *Οἱ μάρτυρές σου Κύριε, Ἀθλοφόροι Κυρίου, τοὺς Μάρτυρας Χριστοῦ*, τὸ τῆς ἡμέρας Τροπάριον, εἶτα τὸ *Ὡς ἀπ' ἀρχὰς τῆς φύσεως*, Δόξα *Μαρτύρων θεῖος χορὸς*, Καὶ νῦν *Θεοτόκε σὺ εἶ ἡ ἄμπελος, μετὰ τῶν Ἀθλοφόρων*, καὶ Ἀπόλυσις. Καὶ εἰ μέν ἐστι πλησίον ἄλλος Ναὸς ἐγκαινιασμένος, μεταφέρει ταῦτα ἐν αὐτῷ πρὸ τοῦ Ἑσπερινοῦ, καὶ τίθησιν ἐπὶ τῆς ἁγίας Τραπέζης, ἔνθα καὶ καίει κηρὸς δι' ὅλης τῆς νυκτός· ψάλλεται δὲ Λυχνικὸν καὶ παννυχὶς[1] ἐν τῷ Ναῷ τῷ ἀποδε-

---

1. Εἰ καὶ κατὰ τὴν ἀρχαίαν τάξιν ἐν περιπτώσει Ἐγκαινίων Ναοῦ ὀφείλει γίνεσθαι Ἀγρυπνία, ἀλλὰ ταύτην ψάλλεται ὁ Ἑσπερινὸς μόνος, τῇ συνήθει ὥρᾳ, τὸ δὲ πρωὶ ὁ Ὄρθρος, μεθ' ὃν τελοῦνται τὰ Ἐγκαίνια καὶ ἀκολούθως ἡ Λειτουργία.

ξαμένῳ τὰ Λείψανα τῶν Ἁγίων· εἰ δὲ οὐκ ἔστι τοιοῦτος Ναὸς, πᾶσα ἡ Ἀκολουθία γίνεται ἐν τῷ νέῳ Ναῷ, ὡς ἡ καθωρισμένη τάξις.

Τὸ πρωὶ ψάλλεται ὁ Ὄρθρος, κατὰ τὴν τυπικὴν τῆς τυχούσης ἡμέρας διάταξιν (ὅρα τὰς διατάξεις § α'—ς'). Μετὰ δὲ τὸ *Πᾶσα πνοὴ* καὶ τὸ *Αἰνεῖτε*, κατέρχεται ὁ Ἀρχιερεὺς ἀπὸ τοῦ θρόνου εἰς τὸ μέσον τοῦ Ναοῦ, καὶ κλίνας τὰ γόνατα, βλέπων πρὸς Ἀνατολὰς ἀναγινώσκει τὰς δύο προκαταρκτικὰς εὐχὰς τῶν Ἐγκαινίων Καλλίστου τοῦ ἁγιωτάτου Πατριάρχου, τὰς πρὸ τῆς Ἀκολουθίας τῶν Ἐγκαινίων ἐν τῷ Εὐχολογίῳ κειμένας, εἶτα ἐγειρόμενος προσκυνεῖ τὰς ἁγίας Εἰκόνας καὶ προετοιμάζεται ὡς συνήθως διὰ τὴν Λειτουργίαν, ψαλλομένου τοῦ *Τὸν δεσπότην καὶ Ἀρχιερέα*, μεθ' ὃ ψάλλονται τὰ Στιχηρὰ τῶν Αἴνων, τὸ Δοξαστικὸν, ἡ Δοξολογία, τὸ Ἀπολυτίκιον τοῦ Ὄρθρου καὶ ἡ Ἀπόλυσις. Εἶτα τὰ τῆς Κηρομαστίχης εἴδη τῇ χύτρᾳ ἐγχέονται καὶ τίθεται αὕτη ἐπὶ τοῦ πυρὸς, μετὰ δὲ τὸ διαλυθῆναι αὐτὰ, πλησίον πάλιν τὴν χύτραν κατέχουσι τοῦ πυρὸς, ἵνα μὴ ἀποψυχρανθῶσι τὰ ἐν αὐτῇ· ὡσαύτως καὶ ἑτέρα χύτρα πληροῦται ὕδατος καὶ παρατίθεται τῷ πυρὶ ὅπως θερμανθῇ, εἰς ἔκπλυσιν τῆς ἁγίας Τραπέζης· εἶτα περιδεσμοῦνται τὰ χαρτία εἰς τὸ χεῖλος τοῦ Κίονος, ὥστε ἐξέχειν αὐτὰ ἐπάνω τοῦ χείλους δακτύλους δύο, καὶ ἀναγεμίζεται ἔσωθεν ὁ γῦρος τῶν χαρτίων μὲ τετριμμένον μάρμαρον ἵνα μὴ ῥεύσῃ ἡ Κηρομαστίχη, καὶ πάντων τῶν ἄλλων χρησίμων προετοιμασθέντων, ὁ Ἀρχιερεὺς ποιεῖ *Εὐλογητὸν*, καὶ εὐθὺς τὸ *Κύριε εἰσάκουσον τῆς προσευχῆς μου*, εἶτα Συναπτὴ μικρὰ παρὰ τοῦ Διακόνου *Ἔτι καὶ ἔτι*, καὶ ὁ Ἀρχιερεὺς ἐκφωνεῖ *Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν*, ὁ Διάκονος *Τοῦ Κυρίου δεηθῶμεν*, ὁ Ἀρχιερεὺς τὴν Εὐχὴν, εἶτα *Εἰρήνη πᾶσι*, ὁ Διάκονος *Τὰς κεφαλὰς ὑμῶν*, ὁ Ἀρχιερεὺς τὴν Εὐχὴν μυστικῶς καὶ τὴν Ἐκφώνησιν *Εἴη τὸ κράτος*[4], καὶ μετὰ τὴν ἐκφώνησιν, αἴρει τὰ ἅγια

4. *Ἂν μὴ τελῆται ἡ Ἀκολουθία εἰς τὸν νέον Ναὸν, ἀλλ' εἰς ἕτερον ἐγκαινιασμένον, ταύτῃ τῇ ὥρᾳ ὁ Ἀρχιερεὺς ἐνδεδυμένος τὴν ἀρχιερατικὴν αὐτοῦ στολὴν (ὡς καὶ ἅπαντες οἱ Ἱερεῖς), αἴρει ἐπὶ κεφαλῆς τὰ ἅγια Λείψανα καὶ μεταφέρει αὐτὰ εἰς τὸν νέον Ναὸν μετὰ παρατάξεως, ὅπου μετὰ τὴν συνήθη περὶ τὸν νέον Ναὸν Λιτανείαν,*

Λείψανα ἐπὶ τῆς κεφαλῆς μετὰ ἁγίου Δίσκου, προπορευομένων τῶν Ἱερέων μετὰ Εὐαγγελίων, Σταυροῦ τε καὶ Ἐξαπτερύγων καὶ Λαμπάδων, τῶν δὲ Ψαλτῶν ψαλλόντων τὰ Τροπάρια *Ἅγιοι Μάρτυρες, Δόξα σοι Χριστὲ ὁ Θεὸς*, ἐξέρχεται τοῦ Ναοῦ (ὡς καὶ ἅπας ὁ λαὸς) καὶ λιτανεύει περὶ αὐτὸν κύκλῳ, ψαλλομένων τῶν Ἰδιομέλων *Ἐγκαινίζου, ἐγκαινίζου· Πάλαι μὲν ἐγκαινίζων· Ἐγκαίνια τιμᾶσθαι·* Δόξα Καὶ νῦν *Ὁ ἐπὶ τῶν κόλπων τῶν Πατρικῶν·* φθάσας δὲ ἔμπροσθεν τῶν μεγάλων πυλῶν τοῦ Ναοῦ, τίθησι τὰ ἱερὰ Λείψανα ἐπὶ τετραποδίου, καὶ ὁ μὲν Διάκονος ἀναγινώσκει τὸν Ἀπόστολον, ὁ δὲ Ἀρχιερεὺς τὸ Εὐαγγέλιον· μετὰ τοῦτο αὖθις λιτανεύει περὶ τὸν Ναὸν ψαλλομένης τῆς γ' Ὠδῆς τοῦ Κανόνος τῶν Ἐγκαινίων, καὶ ἀφοῦ φθάσῃ αὖθις πρὸ τῶν Πυλῶν ἀναγινώσκεται Ἀπόστολος καὶ Εὐαγγέλιον ὡς ἀνωτέρω· καὶ τρίτον λιτανεύει περὶ τὸν Ναὸν ψαλλομένης τῆς ς' Ὠδῆς τοῦ Κανόνος· ἐλθὼν δὲ τελευταῖον πρὸ τῶν Πυλῶν τοῦ Ναοῦ ἐκφωνεῖ *Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν, εἰς τοὺς αἰῶνας τῶν αἰώνων Ἀμήν*, καὶ ψάλλεται τὸ Τροπάριον *Ὁ ἐν τῇ πέτρᾳ τῆς πίστεως·* τούτου ψαλλομένου, ὁ Ἀρχιερεὺς τίθησι τὰ ἱερὰ Λείψανα ἐπὶ τοῦ Τετραποδίου καὶ ἐπεύχεται τὴν Εὐχὴν *Ὁ Θεὸς καὶ Πατὴρ*, εἶτα καὶ τὴν τῆς Εἰσόδου Εὐχήν· τῶν δὲ Πυλῶν τοῦ Ναοῦ κεκλεισμένων οὐσῶν, ὁ Ἀρχιερεὺς ἐκφωνεῖ, *Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ Βασιλεὺς τῆς δόξης·* ἔνδοθεν δὲ τοῦ Ναοῦ ἱστάμενός τις ἀντιφωνεῖ *Τίς ἐστιν οὗτος ὁ Βασιλεὺς τῆς δόξης;* ὁ Ἀρχιερεὺς *Κύριος κραταιὸς καὶ δυνατὸς, Κύριος δυνατὸς ἐν πολέμῳ·* καὶ ταῦτα λέγονται ἐκ τρίτου. Μετὰ ταῦτα σφραγίσας τρὶς τὰς πύλας μετὰ τῶν ἱερῶν Λειψάνων σταυροειδῶς, καὶ τούτων ἀνοιγομένων, εἰσέρχεται ἐν τῷ Ναῷ μετὰ τοῦ Κλήρου καὶ σὺν αὐτοῖς πᾶς ὁ λαὸς, ψαλλομένου τοῦ Ἀπολυτικίου τῶν Ἐγκαινίων *Ὡς τοῦ ἄνω στερεώματος τὴν εὐπρέπειαν·* εἰσελθὼν δὲ ὁ Ἀρχιερεὺς εἰς τὸ ἱερὸν Βῆμα ἀποτίθησι τὰ ἅγια Λείψανα εἰς τὴν ἡτοιμασμένην αὐτοῖς ἀργυρᾶν θήκην, καὶ ἐπιχύσας τούτοις ἅγιον Μύρον, ἀσφαλίζει ταῦτα μετ' ἐπιμε-

εἰσέρχεται ἐν αὐτῷ ἐκτελέσων τὰ Ἐγκαίνια, καὶ ἀκολούθως τὴν Λειτουργίαν, διατάττει δὲ ἵνα τελεσθῇ ἡ Λειτουργία ἐν τῷ Ναῷ ἐκείνῳ.

λείας καὶ προσοχῆς μεγίστης, ἐκφωνῶν ἐκ γ' τὸ *Αἰωνία ἡ μνήμη τῶν κτητόρων τοῦ ἁγίου Ναοῦ τούτου*, τοῦ λαοῦ ἀντιφωνοῦντος *Αἰωνία ἡ μνήμη*, καὶ ἀκολούθως ἐπισυνάπτει τὰς δύο Εὐχὰς, καὶ μετὰ τὸ *Ἀμὴν* εἰσφέρουσιν αὐτῷ θερμὴν τὴν Κηρομαστίχην, ἣν ἐκχέει ἐν μέσῳ τοῦ φυτοῦ καὶ συνεφαρμόζει τὰ χαρτία· εἶτα ἐπιλαβόντες οἱ παρατυχόντες τῆς ἁγίας Τραπέζης, τιθέασι ταύτην ἐπὶ τοῦ Κίονος, καὶ τούτων γιγνομένων οἱ Χοροὶ ψάλλουσιν εἰς ἦχον δ' τὸν 144 Ψαλμὸν *Ὑψώσω σε ὁ Θεός μου*, καὶ ξεομένης τῆς ἀπορρευσάσης Κηρομαστίχης, καθαιρομένου τε τοῦ τόπου ἐφ' οὗ ἔρρευσε, ψάλλεται ὁ 22 Ψαλμὸς *Κύριος ποιμαίνει με*· εἶτα ὁ Ἀρχιερεὺς ἐκφωνεῖ *Εὐλογητὸς ὁ Θεὸς*, καὶ εὐθὺς φέρεται τὸ σάββανον καὶ περιτίθεται ἐπὶ τὸν Ἀρχιερέα ἐπάνω τῶν ἀρχιερατικῶν αὐτοῦ ἀμφίων ἔμπροσθεν καὶ ὄπισθεν ἐπὶ τῷ μὴ φαίνεσθαι τὰ ἀρχιερατικὰ αὐτοῦ ἄμφια καὶ δεσμοῦνται μετὰ ζώνης, περιτυλίσσονται δὲ καὶ οἱ δύο αὐτοῦ βραχίονες μετὰ δύο καινῶν μανδηλίων δεσμουμένων καὶ αὐτῶν ὑπὸ ζώνης, καὶ οὕτω περιβληθέντος τοῦ Ἀρχιερέως, τίθεται ἐπεύχιον ἔμπροσθεν τῶν ἁγίων Θυρῶν, καὶ τοῦ Διακόνου εἰπόντος *Ἔτι καὶ ἔτι κλίναντες τὰ γόνατα, τοῦ Κυρίου δεηθῶμεν*, ὁ Ἀρχιερεὺς κλίνας τὰ γόνατα λέγει τὴν Εὐχὴν *Ὁ Θεὸς ὁ ἄναρχος*, εἶτα ὁ Διάκονος *Ἀντιλαβοῦ, σῶσον, ἐλέησον, ἀνάστησον καὶ διαφύλαξον ἡμᾶς*, ἐπισυνάπτων καὶ τὴν μεγάλην Συναπτὴν *Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν*. Μετὰ τὴν ἐκφώνησιν, ὁ Ἀρχιερεὺς ἔρχεται ἔμπροσθεν τῆς ἁγίας Τραπέζης, καὶ λαβὼν τὰ Νίτρα (ἢ μοσχοσάπωνα), σφραγίζει ταῦτα ἐξ ἀμφοτέρων τῶν μερῶν καὶ ῥίπτει αὐτὰ σταυροειδῶς ἐπὶ τῆς ἁγίας Τραπέζης, εἶτα φέρεται χλιαρὸν ὕδωρ, καὶ τοῦ Διακόνου εἰπόντος *Τοῦ Κυρίου δεηθῶμεν*, ὁ Ἀρχιερεὺς κλίνας τὴν κεφαλὴν, ἐπεύχεται τὸ ὕδωρ μυστικῶς, καὶ μετὰ τὴν ἐκφώνησιν ἐπιχέει αὐτὸ ἐπὶ τῆς Τραπέζης, λέγων *Εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ ἁγίου Πνεύματος, Ἀμὴν*, καὶ διὰ τοῦ ἐκχυθέντος ὕδατος καὶ τῶν Νίτρων ἐκπλύνει τὴν ἁγίαν Τράπεζαν καὶ σπογγίζει αὐτὴν μετὰ καινῶν σπόγγων, τὸν δὲ Κίονα, ὡς μὴ δυνάμενος ταῖς χερσὶν ἐκπλῦναι, ἐκπλύνει καὶ σπογγίζει αὐτὸν μετὰ τοῦ σπόγγου· τούτων γιγνομένων, ψάλλεται ὁ 83 Ψαλμὸς *Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε*· μετὰ δὲ τὴν ἀπόπλυσιν καὶ ἀποσπόγγισιν, ὁ Ἀρχιερεὺς ἐκφωνεῖ *Δόξα τῷ Θεῷ ἡμῶν εἰς τοὺς αἰῶνας*, καὶ λαβὼν Βικίον (Κανίον) ῥοδοστάγμου ἐπιχύσας πλύνει τὴν ἁγίαν Τράπεζαν καὶ σπογγίζει μετὰ τῶν Ἀντιμινσίων, καὶ τούτων γιγνομένων ψάλλεται εἰς ἦχον βαρὺν τὸ *Ῥαντιεῖς με ὑσσώπῳ καὶ καθαρισθήσομαι, πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι*, εἶτα αὖθις δοξάζει λέγων *Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων*, καὶ λαβὼν τὸ δοχεῖον τοῦ ἁγίου Μύρου, τοῦ Διακόνου λέγοντος *Πρόσχωμεν*, ἐπιχέει Μύρον τῇ ἁγίᾳ Τραπέζῃ, ψάλλων τρὶς τὸ *Ἀλληλούϊα*, ὥσπερ καὶ ἐπὶ τοῦ Βαπτίσματος, καὶ δι' αὐτοῦ ποιεῖ Σταυροὺς τρεῖς, μέσον ἕνα καὶ δύο ἑκατέρωθεν, καὶ ἀλείφει τῇ χειρὶ διὰ τῶν τριῶν ἐκείνων Σταυρῶν πᾶσαν τὴν ἁγίαν Τράπεζαν σπογγίζων αὐτὴν δι' Ἀντιμινσίων· τὸ αὐτὸ ποιεῖ καὶ εἰς τὸν Κίονα τῆς Τραπέζης· τούτων τελουμένων, ψάλλεται ὁ 132 Ψαλμὸς *Ἰδοὺ δὴ τί καλὸν, ἢ τί τερπνὸν*, καὶ μετὰ ταῦτα αὖθις ὁ Ἀρχιερεὺς ἐκφωνεῖ *Δόξα τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων*, καὶ τὸ *Δόξα σοι, ἁγία Τριὰς ὁ Θεὸς ἡμῶν, δόξα σοι εἰς τοὺς αἰῶνας τῶν αἰώνων*· εἶτα ἐφαρμόζει ἐπὶ τῶν τεσσάρων γωνιῶν τῆς Τραπέζης τὰ τέσσαρα ὑφάσματα ἀπεικονισμένους ἔχοντα τοὺς τέσσαρας Εὐαγγελιστὰς, ἢ μόνα τὰ ὀνόματα αὐτῶν, προσκολλῶν αὐτὰ διὰ Κηρομαστίχης, ἀκολούθως ἐφαπλοῖ τὸ λεγόμενον κατασάρκιον ἐπὶ τῆς ἁγίας Τραπέζης, οὗ οἱ σχοῖνοι δεσμοῦνται σταυροειδῶς ὑποκάτωθεν αὐτῆς ἐπὶ τοῦ Κίονος· τούτων τελουμένων, ψάλλεται ἐξ ἀμφοτέρων τῶν Χορῶν ὁ 131 Ψαλμὸς *Μνήσθητι Κύριε τοῦ Δαβίδ*· μετὰ τοῦτο αὖθις ὁ Ἀρχιερεὺς ἐκφωνεῖ *Δόξα τῷ Θεῷ εἰς τοὺς αἰῶνας, Ἀμὴν*, καὶ νίπτει τὰς χεῖρας ἔν τινι ἀγγείῳ καινῷ ἢ ἐν τῷ χωνευτηρίῳ, ὥστε μηδόλως ἐκχυθῆναι ἔξω οὐδὲ ῥανίδα μίαν, καὶ σπογγισάμενος τὰς χεῖρας μανδηλίῳ καινῷ, λαμβάνει τὸν ἐπενδύτην τῆς ἁγίας Τραπέζης (ἤτοι τὸ ἐφάπλωμα) καὶ ἐφαπλοῖ αὐτὸν ἐπ' αὐτῆς, ὅτε ψάλλεται ὁ 92 Ψαλμὸς *Ὁ Κύριος ἐβασίλευσεν*· καὶ αὖθις ἐκφωνεῖ *Δόξα σοι, ἁγία Τριὰς ὁ Θεὸς ἡμῶν, εἰς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμὴν*· μετὰ τὸ *Ἀμὴν*, ἐφαπλοῖ ἐπὶ τῆς ἁγίας Τραπέζης τὰ ἐγκαινιασθέντα Ἀντιμίνσια θάτερον θατέρῳ ἐπιτιθέμενος καὶ ἐπ' αὐτοῖς τὸ τῆς Ἐκκλησίας, ἐπὶ τούτου δὲ τὸ ἱερὸν Εὐαγγέλιον, καὶ ἐν τῇ οἰκείᾳ θέσει τὸ ἱερὸν Ἀρτοφόριον, εἶτα γίνεται ὁ ἀσπασμός· μετὰ τὸν ἀσπα-

σμὸν, ὁ Ἀρχιερεὺς λαβὼν θυμιατὸν, θυμιᾷ τὴν ἁγίαν Τράπεζαν καὶ τὸ Ἱερατεῖον καὶ ἅπαντα τὸν Ναόν· ἕως οὗ δ' ἀποθυμιάσῃ τὸν Ναὸν, οἱ Χοροὶ ψάλλουσι τὸν 25 Ψαλμὸν *Κρίνον με, Κύριε·* τοῦ Ἀρχιερέως θυμιῶντος, εἷς τῶν Ἱερέων ἐπακολουθεῖ τούτῳ βαστάζων τὸ τοῦ ἁγίου Μύρου δοχεῖον καὶ ποιεῖ Σταυροὺς ἐκ τοῦ Μύρου διὰ καλάμου εἰς ἕνα ἕκαστον Κίονα καὶ Πηνσὸν (Κολώνα καὶ Καμάραν)· τοῦ θυμιάματος συμπληρωθέντος καὶ τοῦ μυρώματος, συγχρόνως καὶ τοῦ Ψαλμοῦ, ὁ Ἀρχιερεὺς δοξάζει ὑψιφώνως οὕτω *Δόξα τῇ ἁγίᾳ καὶ παντοδυνάμῳ καὶ ζωοποιῷ Τριάδι, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων·* ὁ Διάκονος τὴν μικρὰν Συναπτὴν *Ἔτι καὶ ἔτι ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν,* ὁ Ἀρχιερεὺς τὴν ἐκφώνησιν *Ὅτι πρέπει σοὶ πᾶσα δόξα,* ὁ Διάκονος *Τοῦ Κυρίου δεηθῶμεν,* καὶ ὁ Ἀρχιερεὺς τὴν Εὐχὴν *Κύριε ὁ Θεὸς ἡμῶν,* εἶτα *Εἰρήνη πᾶσι,* ὁ Διάκονος *Τὰς κεφαλὰς ἡμῶν,* ὁ Ἀρχιερεὺς τὴν Εὐχὴν *Εὐχαριστοῦμέν σοι Κύριε,* εἶτα ὁ Διάκονος ἐκφωνεῖ *Ἐν εἰρήνῃ προέλθωμεν,* καὶ ἀναγινώσκεται ὁ Ἀπόστολος παρὰ τοῦ Διακόνου, τὸ δὲ Εὐαγγέλιον ὑπὸ τοῦ Ἀρχιερέως· μετὰ ταῦτα κομίζεται τῷ Ἀρχιερεῖ κανδήλα καινὴ καὶ θρυαλλὶς (φυτρὶ) καὶ ἔλαιον, αὐτὸς δὲ ἰδίαις χερσὶν ἀνάπτει τὴν θρυαλλίδα καὶ ἀποτίθησι τὴν κανδήλαν ἐπὶ τοῦ ἁγίου θυσιαστηρίου, εἶτα δὲ ἀποτιθέμενος τό τε σάββανον, τὰ μανδήλια καὶ τὴν ζώνην (ἅτινα διανέμονται τῷ λαῷ), ἐπιτρέπει τοῖς ἐκκλησιαστικοῖς ὑπηρέταις ἀνάψαι τὰς κανδήλας τοῦ Ναοῦ καὶ τοὺς κηροὺς, ψαλλομένου συγχρόνως τοῦ Δοξαστικοῦ τοῦ Ἁγίου τοῦ Ναοῦ, Καὶ νῦν *Τὴν μνήμην τῶν Ἐγκαινίων ἐπιτελοῦντες Κύριε·* εἶτα τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου τοῦ Ναοῦ καὶ τῶν Ἐγκαινίων *Ὡς τοῦ ἄνω στερεώματος,* ἡ Ἐκτενὴς παρὰ τοῦ Διακόνου *Πληρώσωμεν τὴν ἐωθινὴν,* ἡ Ἐκφώνησις παρὰ τοῦ Ἀρχιερέως *Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος,* καὶ ἡ Ἀπόλυσις παρὰ τοῦ Ἀρχιερέως.

Εἰς τὴν Λειτουργίαν, τὰ παρόντα Ἀντίφωνα.

Α'.

Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου. *Ταῖς πρεσβείαις τῆς Θεοτόκου κτλ.*

Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων, ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή μου.

Τὰ θυσιαστήριά σου, Κύριε τῶν δυνάμεων, ὁ Βασιλεύς μου καὶ ὁ Θεός μου.

Μακάριοι οἱ κατοικοῦντες ἐν τῷ οἴκῳ σου, εἰς τοὺς αἰῶνας τῶν αἰώνων αἰνέσουσί σε.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου κτλ.

Β'.

Σοὶ πρέπει ὕμνος ὁ Θεὸς ἐν Σιὼν, καὶ σοὶ ἀποδοθήσεται εὐχὴ ἐν Ἱερουσαλήμ.

Εἰσάκουσον προσευχῆς μου, πρὸς σὲ πᾶσα σὰρξ ἥξει.

Μακάριος ὃν ἐξελέξω· κατασκηνώσει ἐν ταῖς αὐλαῖς σου.

Ἅγιος ὁ Ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ.

Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἀναστὰς κτλ.

Γ'.

Ἐξελεξάμην παραρριπτεῖσθαι ἐν τῷ οἴκῳ τοῦ Θεοῦ μου.

Ὅτι ἔλεος καὶ ἀλήθειαν ἀγαπᾷ Κύριος ὁ Θεός.

Κύριος οὐ στερήσει τὰ ἀγαθὰ τοῖς πορευομένοις ἐν ἀκακίᾳ.

Τὸ Ἀπολυτίκιον.

Ὁ Ἀπόστολος, τὸ Εὐαγγέλιον, καὶ τὸ Κοινωνικὸν *Κύριε ἠγάπησα εὐπρέπειαν οἴκου σου,* κτλ. καὶ Ἀπόλυσις.

Σημειωτέον ὅτι Δεσποτικῆς ἑορτῆς τυχούσης, προηγοῦνται τῆς τῶν Ἐγκαινίων Ἀκολουθίας τὰ τῆς ἑορτῆς, ὡς καὶ τὸ Εὐαγγέλιον καὶ τὸ Κοινωνικόν.

ΤΕΛΕΤΗ

ΕΙΣ ΑΝΑΡΡΗΣΙΝ ΠΑΤΡΙΑΡΧΟΥ

ΕΠΙ ΤΟΥ

ΟΙΚΟΥΜΕΝΙΚΟΥ ΘΡΟΝΟΥ

ΦΘΑΣΑΣ ὁ Πατριάρχης μετὰ τῆς συνήθους ἐν παρατάξει συνοδίας αὐτοῦ εἰς τὰ Πατριαρχεῖα, ἔρχεται ἔμπροσθεν τῆς μεγάλης πύλης τοῦ Ναοῦ ἔνθα ἵσταται ἅπας ὁ Κλῆρος πρὸς προϋπάντησιν αὐτοῦ, καὶ οἱ μὲν ἅγιοι Ἀρχιερεῖς οἱ συνοδεύοντες αὐτὸν εἰσέρχονται κατ' εὐθεῖαν εἰς τὸ ἱερὸν Βῆμα, τέσσαρες δὲ τῶν διακόνων ἐνδύονται τὰς ἱερὰς αὐτῶν στολάς· καὶ κρατοῦντες δικηροτρίκηρα οἱ μὲν δύο ἐξ αὐτῶν θυμιῶσι τὸν Πατριάρχην εἰσερχόμενον ἐν τῷ Ναῷ, οἱ δὲ δύο ἵστανται περὶ αὐτόν· προπορευομένου δὲ τοῦ Πριμικηρίου μὲ τὸ Διβάμβουλον, καὶ τῶν Χορῶν τῶν ψαλτῶν ψαλλόντων τὸ *Ἄξιόν ἐστιν*, εἰσέρχεται ὁ Πατριάρχης εἰς τὸ ἱερὸν Βῆμα. Τότε ὁ πρῶτος τῇ τάξει Ἀρχιερεὺς φέρων Ἐπιτραχήλιον καὶ Ὠμοφόριον ποιεῖ Εὐλογητόν, ὁ Διάκονος λέγει τὸ Τρισάγιον, ὁ Ἀρχιερεὺς *Ὅτι σοῦ ἐστιν*, μεθ' ὃ οἱ Ἀρχιερεῖς ψάλλουσι τὸ *Εὐλογητὸς εἶ Χριστὲ ὁ Θεὸς ἡμῶν* καὶ τὸ *Ὅτε καταβὰς*, ὁ Ἀρχιερεὺς *Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου δεόμεθά σου ἐπάκουσον καὶ ἐλέησον*, οἱ Ἀρχιερεῖς τὸ *Κύριε ἐλέησον* τρὶς, ὁ Ἀρχιερεὺς *Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν*, αὖθις τὸ *Κύριε ἐλέησον* τρὶς, ὁ Ἀρχιερεὺς *Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις* κτλ. καὶ τὴν Ἀπόλυσιν *Ὁ ἐν εἴδει πυρίνων γλωσσῶν*, ἄνευ τοῦ *Δι' εὐχῶν*.

Μετὰ ταῦτα ὁ Πατριάρχης ἐνδεδυμένος Μανδύαν, Ἐπιτραχήλιον καὶ Ὠμοφόριον ἵσταται ἐνώπιον τῆς ἁγίας Τραπέζης καὶ ποιεῖ Εὐλογητόν, εἶτα ἀναγινώσκει τὸ Τρισάγιον κτλ. ὡς ἀνωτέρω, καὶ γίνεται ἡ Ἀπόλυσις, μεθ' ἣν ἱσταμένου τοῦ Πατριάρχου ἐν τῇ Ὡραίᾳ Πύλῃ, προσέρχεται ὁ Μέγας Λογοθέτης, καὶ διὰ τῆς συνήθους προσφωνήσεως προσκαλεῖ αὐτὸν ἐπὶ τὸν Οἰκουμενικὸν Θρόνον, ὁ δὲ Πατριάρχης ποιεῖται τὴν εὐχαριστίαν, καὶ ἀκολούθως προσέρχεται αὐτῷ ὁ Μητροπολίτης Ἡρακλείας καὶ μετὰ τὴν συνήθη προσλαλιὰν ἐγχειρίζει αὐτῷ τὴν Πατριαρχικὴν ῥάβδον, ἀσπαζόμενος τὴν δεξιὰν αὐτοῦ, καὶ οὕτως ἡ Α. Θ. Π. ὁδηγουμένη ὑπὸ τοῦ Μεγάλου Λογοθέτου καὶ τῶν Διακόνων ἀνέρχεται εἰς τὸν Θρόνον καὶ εὐλογεῖ τὸν λαὸν μετὰ τοῦ τιμίου Σταυροῦ, τῶν Χορῶν ψαλλόντων τὸ *Εἰς πολλὰ ἔτη*, μετὰ τοῦτο ὁ Πρωτοψάλτης μετὰ τοῦ Χοροῦ αὐτοῦ ψάλλει τὸν Πατριαρχικὸν πολυχρονισμὸν *Πολυχρόνιον ποιήσαι Κύριος ὁ Θεὸς τὸν παναγιώτατον καὶ σεβασμιώτατον ἡμῶν αὐθέντην καὶ Δεσπότην, τὸν Οἰκουμενικὸν Πατριάρχην, κύριον κύριον . . . Κύριε, φύλαττε αὐτὸν εἰς πολλὰ ἔτη*. Μετὰ τὸν πολυχρονισμὸν ὁ ἀπ' Ἀμβωνος λόγος· εἰς τὸ τέλος οἱ Χοροὶ *Τὸν Δεσπότην καὶ Ἀρχιερέα ἡμῶν*, τοῦ Πατριάρχου εὐλογοῦντος ἀπὸ τοῦ Βήματος τὸ *Δι' εὐχῶν τοῦ ἁγίου Δεσπότου ἡμῶν*, καὶ οὕτω λήγει ἡ τελετή.

ΤΕΛΕΤΗ

ΕΙΣ ΕΠΑΝΟΔΟΝ ΠΑΤΡΙΑΡΧΟΥ

ΕΠΙ ΤΟΝ ΟΙΚΟΥΜΕΝΙΚΟΝ ΘΡΟΝΟΝ

Ἀφικομένος ὁ Πατριάρχης, ὡς ἀνωτέρω ἐρρέθη, μετὰ τῆς συνήθους παρατάξεως ἐν τοῖς Πατριαρχείοις ἵσταται ἔμπροσθεν τῆς μεγάλης πύλης τοῦ Ναοῦ καὶ ἐνδύεται τὸν Μανδύαν, καὶ οἱ μὲν ἅγιοι Ἀρχιερεῖς εἰσέρχονται κατ' εὐθεῖαν εἰς τὸ ἱερὸν Βῆμα, οἱ δὲ Χοροί, προπορευομένου τοῦ Πριμικηρίου μετὰ τοῦ Διβαμβούλου καὶ δ' Διακόνων, τῶν δύο θυμιώντων τὸν Πατριάρχην εἰσερχόμενον εἰς τὸν Ναὸν, ψάλλουσι τὸ *Ἄξιόν ἐστιν*, ὁ δὲ ἑστὼς ἐν τῷ μέσῳ τοῦ Ναοῦ εὐλογεῖ, ἀλλ' οὐ φέρει τὴν Πατριαρχικὴν ῥάβδον, δύο δὲ τῶν Ἀρχιερέων ἀναβιβάζουσιν αὐτὸν ἐπὶ τοῦ Θρόνου, τότε προσερχόμενος ὁ Μητροπολίτης Ἡρακλείας, μετὰ τὴν συνήθη προσλαλιὰν, ἐγχειρίζει τῷ Πατριάρχῃ τὴν Πατριαρχικὴν ῥάβδον καὶ ἀσπασάμενος τὴν δεξιὰν αὐτοῦ εἰσέρχεται καὶ οὗτος εἰς τὸ ἱερὸν Βῆμα, ὁ δὲ Μ. Λογοθέτης ἵσταται ἐν τῷ παραθρονίῳ. Εἶτα ὁ Μ. Ἐκκλησιάρχης φέρων ἐνδύει τὸν Πατριάρχην Ἐπιτραχήλιον καὶ Ὠμοφόριον, ὁ δὲ Μ. Ἀρχιδιάκονος ἐκφωνεῖ *Εὐλόγησον Δέσποτα*, ὁ Πατριάρχης ποιεῖ εὐλογητὸν, ὁ Ἀρχιδιάκονος λέγει τὸ Τρισάγιον, ὁ Πατριάρχης *Ὅτι σοῦ ἐστιν*, καὶ ὁ α' Χορὸς ψάλλει τὸ τροπάριον *Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτὴς*, ὁ δὲ β' *Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν*, ὁ Μ. Ἀρχιδιάκονος *Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν... Ὑπὲρ τοῦ διαφυλαχθῆναι* κτλ. ὁ Πατριάρχης *Ἐπάκουσον ἡμῶν ὁ Θεὸς*, καὶ εἰς τὸ τέλος ὁ Πρωτοψάλτης τὸν πολυχρονισμὸν, ὁ ἀπ' Ἄμβωνος λόγος, μεθ' ὃν οἱ Χοροὶ ψάλλουσι *Τὸν Δεσπότην καὶ Ἀρχιερέα*, τοῦ Πατριάρχου εὐλογοῦντος τὸν λαὸν, τὸ *Δι' εὐχῶν τοῦ ἁγίου Δεσπότου ἡμῶν*, καὶ οὕτω λήγει ἡ τελετή.

Η ΕΝ ΤΗ Μ. ΕΚΚΛΗΣΙΑ

ΤΕΛΕΤΗ ΤΗΣ ΙΝΔΙΚΤΟΥ

ΤΗ. Α΄ ΣΕΠΤΕΜΒΡΙΟΥ

Τὴν πρώτην Σεπτεμβρίου ὁ Οἰκουμενικὸς Πατριάρχης κατέρχεται εἰς τὸν πατριαρχικὸν Ναὸν κατὰ τὸν Ἑσπερινὸν καὶ τὸ πρωῒ εἰς τὸν Ὄρθρον καὶ τὴν Λειτουργίαν, ἵσταται δὲ ἐν τῷ παραθρονίῳ φέρων Ἐπανωκαλύμμαυχον καὶ Χαζράνιον. Μετὰ τὴν Λειτουργίαν, οἱ ἅγιοι Ἀρχιερεῖς ἐκ τοῦ ἱεροῦ Βήματος, ἔνθα ἀκροῶνται αὐτῆς, ἀνέρχονται εἰς τὸ μέγα Συνοδικὸν, ὅπου, μετὰ τὴν διανομὴν τοῦ Ἀντιδώρου, ἀνέρχεται καὶ ὁ Πατριάρχης, προπορευομένων τῶν Ἑξαπτερύγων καὶ Λαμπάδων, τοῦ Πριμικηρίου μετὰ τοῦ Διβαμβούλου, καὶ τῶν ψαλτῶν, καὶ ἐνδύεται Ἐπιτραχήλιον καὶ Ὠμοφόριον. Εἶτα ὁ Μ. Ἀρχιδιάκονος ἐκφωνεῖ *Εὐλόγησον Δέσποτα*, ὁ Πατριάρχης *Εὐλογητὸς ὁ Θεὸς ἡμῶν*, ὁ Μ. Ἀρχιδιάκονος τὸ Τρισάγιον, ὁ Πατριάρχης *Ὅτι σοῦ ἐστιν*, καὶ ὁ α' Χορὸς ψάλλει τὸ Ἀπολυτίκιον *Ὁ πάσης Δημιουργὸς τῆς κτίσεως*, ὁ β' τὸ *Ὑπομονῆς στύλος γέγονας*, ὁ α' Χορὸς αὖθις τὸ *Χαῖρε κεχαριτωμένη*· εἶτα ὁ Μ. Ἀρχιδιάκονος *Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου*, οἱ Χοροὶ τὸ *Κύριε ἐλέησον* τρὶς, ὁ Δευτερεύων *Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν*, ὁ Μ. Ἀρχιδιάκονος *Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν*, ὁ Δευτερεύων *Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι*, οἱ Χοροὶ τὸ *Κύριε ἐλέησον* ὡς εἰθίσται, ὁ Μ. Ἀρχιδιάκονος *Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν*, ὁ Πατριάρχης *Ἐπάκουσον ἡμῶν ὁ Θεὸς*, κτλ. καὶ τὴν Ἀπόλυσιν, τῶν Χορῶν ψαλλόντων *Τὸν Δεσπότην*

καὶ Ἀρχιερέα. Εἶτα ὁ Πατριάρχης ἀναγινώσκει τὴν Πρᾶξιν, συγχωρῶν πάντας τοὺς ἁπανταχοῦ τῆς Οἰκουμένης εὐσεβεῖς καὶ Ὀρθοδόξους χριστιανοὺς πάσης τάξεως καὶ βαθμοῦ· μετὰ τὸ πέρας οἱ Χοροὶ ψάλλουσι τὸν Πολυχρονισμὸν τοῦ Πατριάρχου, οὗτος δὲ ὑπογράφει τὴν Ἰνδικτιῶνα τοῦ ἔτους, ὡς καὶ οἱ ἅγιοι συνοδικοὶ Ἀρχιερεῖς ὑπογράφουσιν ἕκαστος κατὰ τάξιν, φοροῦντες Ἐπιτραχήλιον καὶ Ὠμοφόριον, οἱ δὲ Χοροὶ ἐν τῷ μεταξὺ ψάλλουσι τὰ Ἰδιόμελα τῆς ἡμέρας. Μετὰ τὴν ὑπογραφὴν, ἀσπάζονται πάντες οἱ παριστάμενοι τὴν δεξιὰν τῆς Α. Θ. Παναγιότητος καὶ οὕτω λήγει ἡ τελετή.

ΩΡΟΛΟΓΙΟΝ

ΤΗΣ ΕΝ ΤΗ Μ. ΕΚΚΛΗΣΙΑ

ΕΝΑΡΞΕΩΣ ΚΑΙ ΑΠΟΛΥΣΕΩΣ

ΤΩΝ ΑΚΟΛΟΥΘΙΩΝ ΤΩΝ Μ. ΕΟΡΤΩΝ

Τῇ ΚΔ΄ Δεκεμβρίου εἰς τὰς Ὥρας σημαίνει τῇ ιϐ΄ τῆς νυκτὸς, ὁ Πατριάρχης κατέρχεται εἰς τὴν α΄, Ἀπόλυσις εἰς τὰς δ΄ τῆς ἡμέρας.

Ὅταν αἱ Ὧραι ψάλλωνται μόναι, σημαίνει εἰς τὴν α΄ τῆς πρωΐας, ὁ Πατριάρχης κατέρχεται εἰς τὰς ϐ΄, Ἀπόλυσις εἰς τὰς δ΄.

Τῇ ἡμέρᾳ τῆς Χριστοῦ Γεννήσεως, εἰς τὸν Ὄρθρον σημαίνει εἰς τὰς θ΄ τῆς νυκτὸς, ὁ Πατριάρχης κατέρχεται εἰς τὰς ι΄ καὶ ἡμίσειαν, Ἀπόλυσις εἰς τὴν α΄ καὶ ἡμίσειαν τῆς πρωΐας.

Τῇ πρώτῃ τοῦ ἔτους σημαίνει εἰς τὴν α΄ τῆς πρωΐας, ὁ Πατριάρχης κατέρχεται εἰς τὰς ϐ΄ καὶ ἡμίσειαν, Ἀπόλυσις εἰς τὰς δ΄ καὶ ἡμίσειαν.

Τῇ Ε΄ Ἰανουαρίου εἰς τὰς Ὥρας σημαίνει τῇ ια΄ τῆς νυκτὸς, ὁ Πατριάρχης κατέρχεται εἰς τὰς ιϐ΄, Ἀπόλυσις εἰς τὰς γ΄.

Ὅταν αἱ Ὧραι ψάλλωνται μόναι, σημαίνει εἰς τὴν α΄ τῆς πρωΐας, ὁ Πατριάρχης κατέρχεται εἰς τὰς ϐ΄, Ἀπόλυσις εἰς τὰς δ΄.

Τῇ ἡμέρᾳ τῶν Θεοφανείων σημαίνει εἰς τὰς ι΄ τῆς νυκτὸς, ὁ Πατριάρχης κατέρχεται εἰς τὰς ια΄ καὶ ἡμίσειαν, Ἀπόλυσις εἰς τὰς ϐ΄.

Τῇ Κυριακῇ τῆς Ὀρθοδοξίας σημαίνει εἰς τὰς ι΄ καὶ ἡμίσειαν, ὁ Πατριάρχης κατέρχεται εἰς τὰς ιϐ΄, Ἀπόλυσις εἰς τὰς ϐ΄ καὶ ἡμίσειαν.

Τῇ Ἁγίᾳ καὶ Μ. Πέμπτῃ, εἰς τὸν Ὄρθρον σημαίνει εἰς τὰς ια΄, ὁ Πατριάρχης κατέρχεται εἰς τὰς ιϐ΄, Ἀπόλυσις εἰς τὴν α΄ καὶ ἡμίσειαν.

Τῇ ἑσπέρᾳ, εἰς τὴν Ἀκολουθίαν τῶν ἁγίων Παθῶν, σημαίνει εἰς τὰς ιϐ΄, μετὰ ἡμίσειαν ὥραν κατέρχεται ὁ Πατριάρχης, Ἀπόλυσις εἰς τὰς δ΄ τῆς νυκτός.

Τῇ Ἁγίᾳ καὶ Μ. Παρασκευῇ εἰς τὰς Ὥρας σημαίνει τῇ ια΄, ὁ Πατριάρχης κατέρχεται μετὰ ἡμίσειαν ὥραν, Ἀπόλυσις εἰς τὰς γ΄ καὶ ἡμίσειαν.

Τῇ ἑσπέρᾳ, εἰς τὸν Ὄρθρον τοῦ Ἐπιταφίου, σημαίνει εἰς τὰς ιϐ΄, ὁ Πατριάρχης κατέρχεται μετὰ ἡμίσειαν ὥραν, Ἀπόλυσις εἰς τὰς δ΄ τῆς νυκτός.

Τῷ Ἁγίῳ καὶ Μ. Σαββάτῳ πρωΐ σημαίνει εἰς τὰς ια΄, Ἀπόλυσις εἰς τὴν α΄ καὶ ἡμίσειαν.

Τῇ Κυριακῇ τοῦ Πάσχα σημαίνει εἰς τὰς ε΄ τῆς νυκτὸς, ὁ Πατριάρχης κατέρχεται μετὰ ἡμίσειαν ὥραν, ἡ Ἀνάστασις εἰς τὰς ς΄ καὶ ἡμίσειαν, Ἀπόλυσις εἰς τὰς θ΄ τῆς νυκτός.

Τῷ Ἑσπερινῷ τῆς Ἀναστάσεως σημαίνει εἰς τὰς γ΄, ὁ Πατριάρχης κατέρχεται εἰς τὰς δ΄, Ἀπόλυσις εἰς τὰς ς΄.

Τῇ Δευτέρᾳ τῆς Διακαινησίμου σημαίνει εἰς τὰς ια΄, ὁ Πατριάρχης κατέρχεται μετὰ ἡμίσειαν ὥραν, Ἀπόλυσις εἰς τὴν α΄ καὶ ἡμίσειαν.

ΣΗΜΕΙΩΣΙΣ

ΤΩΝ ΕΟΡΤΩΝ

ΚΑΘ' ΑΣ ΧΟΡΟΣΤΑΤΕΙ

Ο ΠΑΤΡΙΑΡΧΗΣ

ΕΝ ΤΩΙ ΠΑΤΡΙΑΡΧΙΚΩΙ ΝΑΩΙ

ΚΑΘ' ἅπαντας τοὺς Ἑσπερινοὺς τοῦ Σαββάτου καὶ τὰς Κυριακὰς τοῦ ὅλου ἐνιαυτοῦ.

Τὴν ἐπέτειον τοῦ ὀνόματος Αὐτοῦ.

Σεπτεμβρίου Α'. Τὴν Α' τῆς Ἰνδίκτου (ἐν τῷ παραθρονίῳ).
» Η'. Τὸ Γενέσιον τῆς Ὑπεραγίας Θεοτόκου.
» ΙΔ'. Τὴν Ὕψωσιν τοῦ τιμίου Σταυροῦ.
Ὀκτωβρίου ΚΣ'. Τοῦ ἁγίου Δημητρίου.
Νοεμβρίου Η'. Τῶν Ταξιαρχῶν.
» ΚΑ'. Τῶν Εἰσοδίων τῆς Θεοτόκου.
» Λ'. Τοῦ ἁγίου Ἀνδρέου.
Δεκεμβρίου ς'. Τοῦ ἁγίου Νικολάου.
» ΚΔ'. Τὴν Παραμονὴν τῶν Χριστουγέννων εἰς τὰς Ὥρας.
» ΚΕ'. Τῶν Χριστουγέννων.
» ΚΣ'. Τὴν Σύναξιν τῆς Θεοτόκου.

Ἰανουαρίου Α'. Τὴν Περιτομὴν τοῦ Κυρίου.
» Ε'. Τὴν Παραμονὴν τῶν Θεοφανείων εἰς τὰς Ὥρας.
» ς'. Τῶν ἁγίων Θεοφανείων.
» Ζ'. Τὴν Σύναξιν τοῦ Προδρόμου.
» Λ'. Τῶν Τριῶν Ἱεραρχῶν.
Φεβρουαρίου Β'. Τὴν Ὑπαπαντὴν τοῦ Κυρίου.
Μαρτίου ΚΕ'. Τὸν Εὐαγγελισμὸν τῆς Θεοτόκου.
Ἀπριλίου ΚΓ'. Τοῦ ἁγίου Γεωργίου.
Μαΐου ΚΑ'. Τοῦ ἁγίου Κωνσταντίνου.
Ἰουνίου ΚΔ'. Τὸ Γενέθλιον τοῦ Προδρόμου.
» ΚΘ'. Τῶν ἁγίων Ἀποστόλων.
Ἰουλίου ΙΑ'. Τῆς ἁγίας Εὐφημίας.
Αὐγούστου ς'. Τῆς Μεταμορφώσεως.
» ΙΕ'. Τῆς Κοιμήσεως τῆς Θεοτόκου.
» ΚΘ'. Τῆς Ἀποτομῆς τοῦ Προδρόμου.

ΤΗ ΑΓΙΑ ΚΑΙ Μ. ΤΕΣΣΑΡΑΚΟΣΤΗ

Εἰς τὸν Ἀκάθιστον Ὕμνον, τὸ δὲ πρωὶ ἐν τῷ παραθρονίῳ.

Τῇ Ἁγίᾳ καὶ Μ. Πέμπτῃ, τὸ πρωὶ εἰς τὴν Λειτουργίαν, καὶ τὸ ἑσπέρας εἰς τὴν Ἀκολουθίαν τῶν Ἁγίων Παθῶν.

Τῇ Ἁγίᾳ καὶ Μ. Παρασκευῇ, εἰς τὰς Ὥρας καὶ τὸν Ἑσπερινὸν, καὶ τὸ ἑσπέρας εἰς τὸν Ὄρθρον τοῦ Ἐπιταφίου.

Τῷ Ἁγίῳ καὶ Μ. Σαββάτῳ πρωὶ, εἰς τὸν Ἑσπερινὸν καὶ τὴν Λειτουργίαν.

Τῇ Κυριακῇ τοῦ Πάσχα, καὶ τῇ Δευτέρᾳ, Τρίτῃ καὶ Παρασκευῇ τῆς Διακαινησίμου.

Τῇ Πέμπτῃ τῆς Ἀναλήψεως.

Ἰστέον ὅτι, κατὰ τὴν ἐπικρατήσασαν ἔκπαλαι ἐν τῇ Μ. Ἐκκλησίᾳ συνήθειαν, ὁσάκις ἂν ἐχοροστάτει ὁ Πατριάρχης, συνεχοροστάτουν αὐτῷ καὶ οἱ Συνοδικοὶ Ἀρχιερεῖς, ἀλλὰ ταυτὸν ἐν πᾶσι μὲν τοῖς Ὄρθροις καὶ ταῖς Λειτουργίαις συγχοροστατοῦσι, μόνον ὅμως ἐν τοῖς ἐφεξῆς Ἑσπερινοῖς, ἤτοι ἐν τῷ Ἑσπερινῷ τοῦ ὀνόματος τῆς Α. Θ. Παναγιότητος, τῆς Α' τῆς Ἰνδίκτου, τῆς Παραμονῆς τῶν Χριστουγέννων καὶ τῶν Θεοφανείων, τῆς Α' τοῦ ἔτους, τῆς Κυριακῆς

τῆς Ὀρθοδοξίας, τῆς Ἀκαθίστου, τῆς ἑορτῆς τοῦ Εὐαγγελισμοῦ, τῆς Κυριακῆς τῶν Βαΐων, τῆς Μ. Πέμπτης, τῆς Μ. Παρασκευῆς, τοῦ Μ. Σαββάτου, τῆς Ἀναστάσεως, τῆς ἑορτῆς τοῦ ἁγίου Γεωργίου, τῆς Κυριακῆς τοῦ Θωμᾶ, καὶ τῆς Κυριακῆς τῆς Πεντηκοστῆς. Ἐκτὸς δὲ τούτων τῶν ἐπισήμων Χοροστασιῶν, ὁ Οἰκουμενικὸς Πατριάρχης κατερχόμενος ἐν τῷ Ναῷ, ἵσταται ἐν τῷ παραθρονίῳ (γεδέκι) μετὰ χαζρανίου καὶ ἄνευ Μανδύου, κατὰ τοὺς Ἑσπερινοὺς τῶν Κυριακῶν τῆς Ἁγ. καὶ Μ. Τεσσαρακοστῆς, τὰς Προηγιασμένας, ἐν τῷ Μεγάλῳ Ἀποδείπνῳ καὶ τῷ Κανόνι τῷ ψαλλομένῳ τὴν Α΄ Ἑβδομάδα τῆς Τεσσαρακοστῆς, τὴν ἑσπέραν τῆς Ἀκολουθίας τοῦ Μεγ. Κανόνος, τὴν πρωΐαν τῆς Ἀκαθίστου, τὴν ἑορτὴν τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου Ἀρχιεπισκόπου Κωνσταντινουπόλεως (ἐὰν μὴ τύχῃ ἐν ἡμέρᾳ Κυριακῇ, ὅτε, ἐὰν βούληται ὁ Πατριάρχης, χοροστατεῖ ἐν τῷ θρόνῳ φέρων Μανδύαν), καὶ τὴν ἑορτὴν τῆς Ἰνδίκτου.

ΠΕΡΙ

ΧΕΙΡΟΤΟΝΙΑΣ

Α'.

Ὅταν γίνηται χειροτονία Ἀρχιερέως ἐν ἡμέρᾳ ἄλλῃ πλὴν τῆς Κυριακῆς καὶ μὴ τύχῃ μνήμη ἑορταζομένου Ἁγίου, ψάλλονται πάντα τὰ τῆς Πεντηκοστῆς Ἀπολυτίκια, Κοντάκια, Καθίσματα, Κανόνες, Καταβασίαι, Ἐξαποστειλάρια, Αἶνοι, Ἀντίφωνα, Εἰσοδικὸν, Ἀπόστολος, Εὐαγγέλιον καὶ Κοινωνικόν.

Β'.

Ἂν δ' ἡ χειροτονία συμβ ἐν Κυριακῇ ἁπλῇ, λέγονται Καταβασίαι τῆς Πεντηκοστῆς, καὶ μετὰ *Τὴν τιμιωτέραν* ἡ θ' Ὠδὴ τῆς Πεντηκοστῆς. Ἐξαποστειλάρια πρῶτον τὸ Ἀναστάσιμον εἶτα τὸ τῆς Πεντηκοστῆς, ἄνευ Θεοτοκίου. Εἰς τοὺς Αἴνους μετὰ τὰ δ' Ἀναστάσιμα λέγονται καὶ τὰ τῆς Πεντηκοστῆς *Παράδοξα σήμερον, Δόξα Βασιλεῦ οὐράνιε,* Καὶ νῦν *Ὑπερευλογημένη.* Μετὰ τὴν Δοξολογίαν τὸ *Σήμερον σωτηρία.* Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα τῆς Πεντηκοστῆς. Εἰσοδικὸν *Δεῦτε προσκυνήσωμεν . . . ὁ ἀναστάς.* Εἶτα τὸ ἀναστάσιμον Ἀπολυτίκιον, τὸ

Εὐλογητὸς εἶ, τὸ τοῦ Ἁγίου τοῦ ναοῦ καὶ Κοντάκιον *Ὅτε κατα-βάς*. Τὸ Τρισάγιον, ὁ Ἀπόστολος τῆς Πεντηκοστῆς καὶ Εὐαγγέλιον τῆς Κυριακῆς, *Ἄξιόν ἐστιν*, Κοινωνικὸν ἀντὶ τοῦ *Αἰνεῖτε*, *Τὸ Πνεῦμά σου τὸ ἀγαθόν*.

Γ'.

Ἡ αὐτὴ ἀναλογία τηρητέα καὶ ὅταν ἡ χειροτονία Ἀρχιερέως γίνηται ἐν ἄλλῃ πλὴν Κυριακῆς ἡμέρᾳ, καὶ ἑορτάζηται ὁ Ἅγιος τῆς ἡμέρας· ἀλλ' ἐν τοιαύτῃ περιπτώσει προηγοῦνται ἀναντιρρήτως τὰ τῆς Πεντηκοστῆς καὶ ἔπονται τὰ τοῦ Ἁγίου.

Δ'.

Ἐν Κυριακῇ δὲ μετὰ Ἁγίου δεδοξασμένου ἂν συμπέσῃ χειροτονία Ἀρχιερέως, μετὰ τὰς Καταβασίας τῆς Πεντηκοστῆς *Τὴν τιμιωτέραν* καὶ τὴν θ' Ὠδὴν τῆς Πεντηκοστῆς. Ἐξαποστειλάρια τὸ Ἀναστάσιμον, τῆς Πεντηκοστῆς, τοῦ Ἁγίου, καὶ Θεοτοκίον. Εἰς τοὺς Αἴνους Ἀναστάσιμα β', τῆς Πεντηκοστῆς γ' καὶ τοῦ Ἁγίου γ'. Δόξα *Βασιλεῦ οὐράνιε*, Καὶ νῦν *Ὑπερευλογημένη* Μετὰ τὴν Δοξολογίαν *Σήμερον σωτηρία*. Εἰς τὴν Λειτουργίαν τὰ Ἀντίφωνα τῆς Πεντηκοστῆς, καὶ μετὰ τὴν Εἴσοδον *Δεῦτε προσκυνήσωμεν . . . ὁ ἀναστάς*. Ἀπολυτίκια τὸ Ἀναστάσιμον, τῆς Πεντηκοστῆς, τοῦ Ἁγίου τῆς ἡμέρας, τοῦ Ἁγίου τοῦ ναοῦ, καὶ τὸ Κοντάκιον *Ὅτε καταβάς*. (Τὰ λοιπὰ ὡς ἀνωτέρω ἐν § Β').

Ε'.

Ἐν ἡμέρᾳ Θεομητορικῆς ἑορτῆς ἂν τελῆται χειροτονία Ἀρχιερέως, Καταβασίαι ψάλλονται αἱ κεκανονισμέναι τῆς ἐποχῆς, καὶ μόνον Ἐξαποστειλάριον πρὸ τοῦ τῆς ἑορτῆς ψάλλεται τῆς Πεντηκοστῆς· καὶ εἰς τοὺς Αἴνους δύο μόνον Στιχηρὰ ἐκ τῶν τῆς Πεντηκοστῆς. Δόξα τὸ *Βασιλεῦ οὐράνιε*, Καὶ νῦν τῆς ἑορτῆς. Εἰς δὲ τὴν

Λειτουργίαν τὰ Ἀντίφωνα τῆς ἑορτῆς. Ἀπολυτίκια, μετὰ τὴν Εἴσοδον, πρῶτον τὸ τῆς Πεντηκοστῆς, δεύτερον τῆς ἑορτῆς, καὶ Ἀπόστολος ἐπίσης τῆς Πεντηκοστῆς.

Ζ'.

Ἐν Δεσποτικῇ ἑορτῇ ἂν τελῆται χειροτονία Ἀρχιερέως, οὐδὲν ἄλλο ψάλλεται ἐκ τῶν τῆς Πεντηκοστῆς εἰμὴ τὸ Ἐξαποστειλάριον, οὗ ὅμως προηγεῖται ἅπαξ τὸ τῆς ἑορτῆς καὶ ἔπεται αὖθις τὸ αὐτό. Μετὰ δὲ τὴν Εἴσοδον, λέγεται τὸ Ἀπολυτίκιον τῆς Πεντηκοστῆς ἀπὸ τοῦ Βήματος μετὰ τὸ τῆς ἑορτῆς καὶ οὐδὲν πλέον.

ΠΕΡΙ ΣΥΛΛΕΙΤΟΥΡΓΟΥ

ΟΤΑΝ τύχωσι πλείονες τοῦ ἑνὸς Ἱερεῖς συλλειτουργοῦντες, ἀφ' ἑσπέρας ἂν γένηται Εἴσοδος, ἀπαιτοῦνται τρεῖς τοὐλάχιστον Ἱερεῖς καὶ ψάλλουσιν ἔξωθεν ἡμικύκλιον ἀποτελοῦντες[1] ἐν τῷ μέσῳ τοῦ ναοῦ τὸ *Φῶς ἱλαρὸν* μέχρι τοῦ καὶ *ἅγιον Πνεῦμα Θεὸν*, ἀπὸ δὲ τοῦ Βήματος τὸ ἐπίλοιπον, καὶ μετ' αὐτὸ τὸ Προκείμενον τῆς ἡμέρας ἅπαξ ἐκ τοῦ Βήματος καὶ δὶς ἔξωθεν. Εἰς δὲ τὴν

1. *Καίτοι πάντες εἰσὶν ἴσοι καὶ ὀφείλουσι τιμᾶν καὶ σέβεσθαι ἀλλήλους, ἀλλὰ προηγοῦνται ἢ κατὰ ὀφφίκια ἢ κατὰ τὰ πρεσβεῖα τῆς χειροτονίας.*

Λιτὴν ὁ πρῶτος τῇ τάξει λέγει τὸ *Ἐπάκουσον ἡμῶν ὁ Θεὸς*, καὶ τὸ *Εἰρήνη πᾶσι*· ὁ δεύτερος τὸ *Δέσποτα πολυέλεε*· καὶ ὁ τρίτος τὸ *Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεός*· εἶτα ὁ πρῶτος κατάρχει τοῦ *Θεοτόκε Παρθένε* βοηθούντων καὶ τῶν λοιπῶν· ἀλλ' αὐτὸς μόνος θυμιᾷ καὶ στρέφει περὶ τοὺς ἄρτους μετὰ τοῦ Διακόνου. Τὸ δὲ πρωῒ οὐδὲν ἄλλο ψάλλουσιν οἱ συλλειτουργοῦντες ἱερεῖς, ἐκ τοῦ Βήματος πλέον τῶν συνήθων καὶ τῷ ἑνὶ μόνῳ Λειτουργοῦντι ἱερεῖ, εἰμὴ τὸ *Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ* κατὰ τὴν Εἴσοδον, εἶτα τὸ Ἀπολυτίκιον (ὅτε καὶ θυμιᾷ ὁ πρῶτος τῇ τάξει τὴν ἁγίαν Τράπεζαν καὶ τὰς Εἰκόνας)· τὸ Κοντάκιον, καὶ τὸ *Ἅγιος ὁ Θεὸς* τὴν τρίτην φοράν[2]. Τὰς Ἐκφωνήσεις λέγουσιν ἐξ ὑπαμοιβῆς ὁ εἷς μετὰ τὸν ἄλλον, εὐλογεῖ δὲ τὰ τίμια Δῶρα ὡς καὶ τὸν λαόν, ὁσάκις ἂν δέῃ, ὁ πρῶτος τῇ τάξει, καὶ κοινωνοῦσι τῶν Ἀχράντων Μυστηρίων κατὰ τάξιν ἕκαστος, τοῦ τελευταίου μεταδιδόντος καὶ τῷ Διακόνῳ.

Ἂν τὸ συλλείτουργον γίνηται ἐξ Ἀρχιερέων, ὁ πρῶτος τῇ τάξει φέρει τὸν Μανδύαν καὶ ἵσταται ἐπὶ τοῦ θρόνου μέχρι τῆς κεκανονισμένης ὥρας. Εἶτα εἰσελθὼν εἰς τὸ Ἱερὸν δίδωσι καὶ λαμβάνει[3] συγχώρησιν παρὰ τῶν μελλόντων συλλειτουργῆσαι καὶ οὕτως ἐνδύονται πάντες. Κατὰ τὴν Δοξολογίαν ἐξέρχονται, προηγουμένων τῶν Ἱερέων, καὶ τελευταῖος ἔρχεται ὁ προεξάρχων φέρων καὶ Μίτραν ἐπὶ κεφαλῆς καὶ τὴν Ποιμαντορικὴν ῥάβδον ἐν τῇ δεξιᾷ χειρί. Κατὰ τὴν Εἴσοδον ψάλλων ἐν συνοδείᾳ καὶ τῶν λοιπῶν Ἀρχιερέων καὶ Ἱερέων τὸ Εἰσοδικὸν εὐλογεῖ μετὰ τῶν δικηροτρικήρων, εἰσέρχεται εἰς τὸ Βῆμα πρῶτος, ἑπομένων τῶν ἄλλων Ἀρχιερέων καὶ Ἱερέων, καὶ θυμιᾷ περὶ τὴν ἁγίαν Τράπεζαν καὶ τὴν Πρόθεσιν, εἶτα τάς τε ἱερὰς Εἰκόνας ἐκ τῶν Βημοθύρων καὶ τὸν λαὸν ψάλλων τὸ Ἀπο-

2. *Κακῶς τινες τῶν Ἱερέων κατὰ τὰ τελευταῖα ἔτη ἐκ φιλοδοξίας κατακριτέας ψάλλουσι καὶ τὸ* **Κύριε σῶσον τοὺς εὐσεβεῖς**, *καὶ μετὰ τὴν δευτέραν Εἴσοδον κρατοῦντες τὰ Ἅγια μνημονεύουσι ζώντων καὶ τεθνεώτων, μὴ ἀρκούμενοι εἰς τὸ περιληπτικὸν καὶ καθιερωμένον* **Πάντων ὑμῶν μνησθείη Κύριος ὁ Θεός**.

3. *Ἐὰν ὦσιν Ἐπίσκοποι καὶ ὁ προεξάρχων Μητροπολίτης αὐτῶν, ἢ Μητροπολῖται καὶ ὁ προεξάρχων Πατριάρχης, ἀσπάζονται τὴν τούτου χεῖρα.*

λυτίκιον[4] καὶ τελευταῖον τὸ Κοντάκιον. Τὸ *Ἅγιος ὁ Θεὸς* ἀφοῦ ψαλῇ δὶς ἔξωθεν, τὸ τρίτον λέγεται ἀπὸ τοῦ Βήματος, τὸ τέταρτον ἔξωθεν καὶ αὖθις τὸ πέμπτον ἔσωθεν. Εἶτα *Δόξα Καὶ νῦν* ἔξωθεν, ὡς καὶ τὸ *Ἅγιος ἀθάνατος*, καὶ μετ' αὐτὸ ψάλλεται πάλιν ἐκ τοῦ Βήματος ἀργότερον τὸ *Ἅγιος ὁ Θεὸς* κατὰ Στάσεις τέσσαρας ἐναλλὰξ ὑπὸ τῶν δύο δεξιᾷ καὶ ἀριστερᾷ ἱσταμένων Ἀρχιερέων καὶ Ἱερέων, καὶ εὐλογεῖ ὁ προεξάρχων διὰ τῶν δικηροτρικήρων λέγων τὸ *Κύριε, Κύριε, ἐπίβλεψον ἐξ οὐρανοῦ*. Μετὰ τὸ *Ἐλέησον ἡμᾶς*, ψάλλεται αὖθις ἔξωθεν ὑπὸ τοῦ δεξιοῦ Χοροῦ τὸ *Ἅγιος ὁ Θεὸς*, ἀφοῦ ὁ Διάκονος εἴπῃ τὴν Ἐκφώνησιν *Δύναμις*. Τότε ψάλλεται ἔσωθεν τὸ *Κύριε σῶσον τοὺς εὐσεβεῖς* καὶ ἔξωθεν ἐπαναλαμβάνεται δὶς ὑπὸ τῶν Χορῶν· αὖθις ἔσωθεν ψάλλεται τὸ *Καὶ ἐπάκουσον ἡμῶν*. Εἶτα λέγεται ἡ φήμη τοῦ Πατριάρχου ἅπαξ ἔσωθεν καὶ δὶς ἔξωθεν, καὶ ἂν μὲν ὁ προεξάρχων ᾖ Μητροπολίτης καὶ οἱ συλλειτουργοὶ Ἐπίσκοποι, ψάλλεται καὶ ἡ τοῦ Μητροπολίτου φήμη, ἔσωθέν τε καὶ ἔξωθεν· ἂν δὲ πάντες ὦσι Μητροπολῖται ἢ πάντες Ἐπίσκοποι, παραλείπεται ἡ φήμη τοῦ πρώτου τῇ τάξει. Ἐν ἑκάστῃ εὐλογίας περιπτώσει εὐλογεῖ ὁ πρῶτος τῇ τάξει, καὶ οὗτος λαμβάνει τὰ Ἅγια ἐκ τῶν χειρῶν τοῦ Διακόνου καὶ τοῦ Ἱερέως κατὰ τὴν δευτέραν Εἴσοδον καὶ μνημονεύει ζώντων τε καὶ τεθνεώτων· ἀλλ' αἱ Ἐκφωνήσεις διανέμονται κατὰ σειρὰν εἰς τρόπον μέχρι καὶ τῶν συλλειτουργούντων Ἱερέων. Τὰ Ἅγια εὐλογεῖ μόνον ὁ προεξάρχων, ἀλλ' οἱ Ἀρχιερεῖς κοινωνοῦσι τῶν Ἀχράντων Μυστηρίων ἰδίᾳ χειρί, οἱ δὲ Ἱερεῖς καὶ οἱ Διάκονοι μετέχουσι τούτων παρὰ τοῦ τελευταίου τῇ τάξει Ἀρχιερέως.

4. *Ἐὰν ᾖ Μνημόσυνον, ψάλλεται ἐκ τοῦ Βήματος μετὰ τὸ τοῦ Ἁγίου τῆς ἡμέρας Ἀπολυτίκιον καὶ τὸ τῶν Κεκοιμημένων* **Μνήσθητι Κύριε ὡς ἀγαθὸς τῶν δούλων σου.**

ΑΚΟΛΟΥΘΙΑ ΝΕΚΡΩΣΙΜΟΣ

ΕΙΣ

ΚΟΙΜΗΘΕΝΤΑΣ

ΤΕΛΕΥΤΗΣΑΝΤΟΣ τινος τῶν εὐσεβῶν, προσκαλεῖται παρὰ τῶν συγγενῶν αὐτοῦ ὁ ἱερὸς Κλῆρος· ἐλθόντες δὲ εἰς τὸν οἶκον, ἐν ᾧ τὸ λείψανον κεῖται, ἐὰν ᾖ καὶ Ἀρχιερεὺς, λαμβάνουσι καιρὸν οἱ Ἱερεῖς καὶ οἱ Διάκονοι· καὶ οἱ μὲν Ἱερεῖς βάλλουσιν Ἐπιτραχήλια, οἱ δὲ Διάκονοι ἐνδύονται Στιχάρια καὶ Ὡράρια κρατοῦντες θυμιατὰ καὶ δικηροτρίκηρα, τότε εἷς Ἱερεὺς μετὰ Διακόνου εἰσέρχονται ὅπου ὁ νεκρὸς κεῖται, καὶ ὁ μὲν Διάκονος ἐκφωνεῖ *Εὐλόγησον Δέσποτα*, ὁ Ἱερεὺς *Εὐλογητὸς ὁ Θεὸς*, ὁ Διάκονος τὸ Τρισάγιον, ὁ Ἱερεὺς *Ὅτι σοῦ ἐστιν*, καὶ ψάλλουσιν εἰς ἦχον δ' τὰ Τροπάρια *Μετὰ πνευμάτων δικαίων τετελειωμένων· Εἰς τὴν κατάπαυσίν σου Κύριε, ὅπου πάντες οἱ Ἅγιοί σου ἀναπαύονται· Δόξα Σὺ εἶ ὁ Θεὸς ἡμῶν*, Καὶ νῦν *Ἡ μόνη Ἁγνὴ καὶ Ἄχραντος Παρθένος*. Εἶτα ὁ Διάκονος *Ἐλέησον ἡμᾶς ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός σου . . . ἔτι δεόμεθα ὑπὲρ ἀναπαύσεως καὶ συγχωρήσεως τῆς ψυχῆς τοῦ κεκοιμημένου δούλου σου* (δεῖνα), *καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτῷ πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον, ὅπως Κύριος ὁ Θεὸς τάξῃ τὴν ψυχὴν αὐτοῦ, ἔνθα οἱ δίκαιοι ἀναπαύονται* κτλ. *Τοῦ Κυρίου δεηθῶμεν*, ὁ Ἱερεὺς τὴν Εὐχὴν *Ὁ Θεὸς τῶν Πνευμάτων*, καὶ τὴν νεκρώσιμον Ἀπόλυσιν. Εἶτα ἄραντες τὸ λείψανον, προπορευομένων τῶν Ἱερέων μετὰ λαμπάδων καὶ τῶν Διακόνων ἔμπροσθεν τοῦ Ἀρχιερέως φέροντος Μανδύαν καὶ Ῥάβδον, καὶ τῶν Ψαλτῶν ψαλλόντων τὸ *Ἅγιος ὁ Θεὸς* ἀπερχόμεθα εἰς τὸν ναὸν, ἀφ' οὗ δὲ εἰσέλθωμεν τὸ μὲν λείψανον ἀποτίθεται ἐν τῷ μέσῳ τοῦ Ναοῦ, ὁ δὲ Ἀρχιερεὺς εὐλογήσας διὰ τρικηρίου ἀνέρχεται εἰς τὸν θρόνον, ὁ Διάκονος ἐκφωνεῖ *Εὐλόγησον Δέσποτα*, ὁ Ἀρχιερεὺς *Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων* καὶ εὐθὺς οἱ Χοροὶ ἄρχονται ψάλλειν εἰς ἦχον πλάγιον τοῦ δ'.

Ἄμωμοι ἐν ὁδῷ, Ἀλληλούϊα.

Εὐλογητὸς εἶ Κύριε, δίδαξόν με τὰ δικαιώματά σου, Ἀλληλούϊα (εἰς τὸ τέλος ἑκάστου στίχου ψάλλεται τὸ *Ἀλληλούϊα*).

Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ.

Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου.

Κλῖνον τὴν καρδίαν μου εἰς τὰ μαρτύριά σου καὶ μὴ εἰς πλεονεξίαν.

Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου.

Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου.

Δόξα Πατρὶ καὶ Υἱῷ . . . Καὶ νῦν καὶ ἀεὶ . . . Ναὶ, Ἀλληλούϊα.

Ὁ Διάκονος *Ἐλέησον ἡμᾶς ὁ Θεὸς*, ὁ Ἀρχιερεὺς *Ὅτι σὺ εἶ ἡ ἀνάστασις*, καὶ ἄρχεται ὁ β' Χοχὸς εἰς ἦχον πλάγιον τοῦ α'.

Αἱ χεῖρές σου ἐποίησάν με καὶ ἔπλασάν με, σύνέτισόν με, καὶ μαθήσομαι τὰς ἐντολάς σου. Ἐλέησόν με Κύριε (εἰς τὸ τέλος ἑκάστου στίχου ψάλλεται τὸ *Ἐλέησόν με Κύριε*).

Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην,

Σός εἰμι ἐγὼ, σῶσόν με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα.

Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με.

Ἔκλινα τὴν καρδίαν μου, τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι' ἀντάμειψιν.

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν τὸν νόμον σου.

Δόξα Πατρὶ, Καὶ νῦν καὶ ἀεὶ, Ἐλέησόν με Κύριε, Κύριε.

Ὁ Διάκονος *Τοῦ Κυρίου δεηθῶμεν*, ὁ Ἀρχιερεὺς (ἢ ὁ Ἱερεὺς) *Ὅτι σὺ εἶ ἡ ἀνάστασις*, καὶ ἄρχεται ὁ α' Χορὸς εἰς ἦχον πλάγιον τοῦ δ'.

Καὶ ἐλέησόν με, Ἀλληλούϊα.

Ἐπίβλεψον ἐπ' ἐμὲ καὶ ἐλέησόν με, κατὰ τὸ κρίμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. Ἀλληλούϊα.

Νεώτερος ἐγώ εἰμι καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἀλληλούϊα.

Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρίμα σου ζῆσόν με. Ἀλληλούϊα.

Ἄρχοντες κατεδίωξάν με δωρεὰν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. Ἀλληλούϊα.

